[- - - - - - - μ]νᾶν ἑκάσταν
[- - - - - - - ο]υς ἤνικαν Πο-
[- - - - - - ἀπεδώ]καμες τὰγ κ-
[- - - - - κομισ]άντων ἐκ Πάρ-
[ου - - - - - - ἀ]ποδόσιος ε Ι̣⁝
[- - - - - τάλαν]τ̣α πεντήκον-
[τα - - - - - - πέ]ν̣τ' ὀδελῶν ἡμ-
[ιωδελίου - - τάλαν]τ̣α πεντήκον-
[τα - - - - - Γ]άμου· τῶν λίθ-
[ων - - - - - -]⁝ τῶν ἀγγρο-
[φέων - - - - - -]έων ἐργασία-
[ς - - ἐνγύους κατέ]στασε Τιμόνι-
[κον - - - - - -]ι ἔλαβε τὸ κατ-
- - - - - - - - ρου κόσμος εξ-
- - - - - - - - - ν . . ἀφείλετο
- - - - - - - - *v* Ἀγριανίου·
[- - - - - - - στ]υλοβάτας κ . .
[- - - - - ἀφείλε]το Γόργιππος
[- - - - κομισάντων] ἐκ Πάρου παρ . .
[- - - - - τοῖς συγγρ]όφοις Κλε-
- - - - - - - - - τὸ περισ̣[τύλι]-
[ον - - ἐνγύους κατέ]σ̣τασε Ι . .⁵. . .
[- - - - ἐνγύους κατέ]στασ[ε . .⁵. .]
- - - - - - - - - ΙεΙ - - -
- - - - - - - - - - Ι - - -

5 cf. Στράτων Ἀθηναῖος ἐργώνας (θόλου) 103_{160} Fr. 6 λευκ[ώσιος Hi. coll. n. 103_{278}; Wiegand *Puteolan. Bauinschr.* 714⁷. 10 λί]ẹων Fr. Immo ᑐ = ρ est. 11 κερα]μίους Fr., em. Hi. 16 ΕΓ Fr. 17. 19 τάλαν]τα desiderat Hi. 18 τόδ' ἐλῶν ἡμ- Fr., em. Hi. coll. Trozeniorum IG IV¹ 757 B_{42} ὀδελον[ό]μοι, Bechtel *Gr. Dial.* II 461. 20 Γ]άμου Hi. 21 ἀγγρο[φέων Klaff. coll. 118_{64}; *Realenc. Suppl.* I 75. 22 θυ]ρῶν contra dialectum Fr. 23 non Τιμωνί|[δαν. 25 non potest dici, num θεάτ]ρου supplere liceat.

113 Stela undique mutila; l. max. 0,26, a. max. 0,34, cr. 0,16. Litterae saec. IV/III, στοιχηδόν. Ed. IG IV¹ 1489. *Ect.*

- - - - - - \Ωε - - - - -
- - - - - - πι.ιa - - - - -
- - Δ[ει]ν̣ωνος καινᾶν τ̣ - - - - -
- - ε̣ι Ἀλεξίκωνι ⊟ = = - - - -
- - ι ἐργῶναι τοῦ κερά[μου - - -
- - Κ̣αλισ̣τ̣ίων ἐπιτι[μὰν - - - -
- - Ὑπεραμερίαν τᾶν̣ - - - - -
- - λ̣ωνος λόγος ἐπὶ Δα - - - - -
- - φατνᾶν ἐργασίας - - - - -
- - ος 𐅃 = - Γ : : Δείνωνι Λ - -
- - ιιι Ε̣ὐανδ̣ρ̣ίωι 𐅄 ⊟ ⊟ ⊟ = - -

vac. a. 0,13

Diserte dico, fragmenta 112 et 113 non posse pertinere ad unam stelam; valde enim distant versuum intervalla. 3. 10 Δείνων cf. n. 103_{130} Δείνωνι καταξυλώσιος Η = = - Δείνωνι ἀναγω-γᾶς τῶλ λίθων ἐς τὸ ἱαρὸν ⊟ ⊟ = = ιι (Fr.). 3 cf. n. 114_{21} καινᾶν τᾶν ἐν τᾶι κλεισίαι. 4 Ἀλεξίκων, 6 Καλ(λ)ιστίων ceteroquin ignoti. 8 Cf. Δαμόκριτος ἱαρεύς 103_{10-18}; Δαμόφιλος 114_3. 11 Cf. Πανάνδριος Bechtel *HP* 54 (Klaff.).

114 HIEROMNAMONVM DE DEVERSORIO RATIONES. Stela infra et in parte postica fracta; l. 0,45, a. max. 0,74, cr. 0,16. Titulus lateris adversi legi non poterat, lateris dextri angustioris superior paucas litteras exhibet, quae certo dispiciuntur. inferiorem partem legit Fraenkel. Litterarum στοιχηδὸν scriptarum (a. 0,004) centra punctis quae lineis directis et transversis efficiuntur indicata sunt (sicut n. 110). Saec. IV/III. Ed. IG IV¹ 1491. Cf. *Zapiski* societatis Odessi XXX 1912, προπεμπτήρια E. de Stern oblata 91/6 (Ziebarth *25 Jahre* ... 116). *Ect.*

Vestigia 29 fere versuum

.𐅃 = π̣αρ' [ἱα]ρ̣[ομ]ν[αμό]ν-
[ων] 𐅄 ⊟ ⊟ = = [..] ἄλ[λ]ο· [ἐπὶ ἱ]-
α[ρε]ῦς Δαμοφίλου, μ̣η̣[ν]-
ὸς̣ Ἑρμαίου, ἐπὶ καταλ-
[ό]γου βουλᾶς Κωλεῖς, Ἀ-
ρκεσιλάου λάμματα· π-
αρ' ἱαρ̣ο̣μ̣να[μ]όν[ω]ν̣ [¹., πα]-
ρ̣' ἱα[ρομν]αμό[ν]ων ⊟ ⊟ ⊟ [.]
𐅃̣ = = [.².] ιι C ἄλλο· ἐπὶ ἱ[αρ]-
εῦς Δαμοφίλου, μηνὸ[ς]
Γάμου, ἐπὶ καταλόγω[ν]
βουλᾶς Ἀλαμαῖς, Ἀρ̣ι̣[σ]-
τ[οφ]άντου, Ξενοκ̣λ̣έ̣[ος],
[Σ]κ̣υλακίδα· λάμμ̣α̣τ̣α̣ [π]-
αρ̣' ἱαρομναμόνων [., πα]-
[ρ' ἱαρομν]αμόν̣ων ⊟ ⊟ [.] =
[.] λόγος λάμματος παν-
τὸς Χ Χ 𐅄̣ ⊟ ⊟ ⊟ ⊟ 𐅃̣ Γ : ·ιι C
δαπάναι· ἀπεδώκαμες
ἐργῶναι Ὠφελίωνι τᾶ-
ν καινᾶν τᾶν ἐν τᾶι κλ-
εισίαι καινᾶν πεντή-
κοντα, ἑλομένωι ἑκάσ-
ταν δραχμᾶν δεκαδύο,
γίνεται ὑφαιρεθέντ-
ος τοῦ ἐπιδεκάτου 𐅄 =
= ἄλλο ἀπεδώκαμες ἐρ̣-
γῶναι Ὠφελίωνι τὸ ἐπ-
ιδέκατον τᾶν καιν̣ᾶν
τᾶν ἐν τᾶι κλεισίαι, ἐ-
πεὶ ἀπέδειξε τὸ ἔργ[ον]
τᾶι βουλᾶι, δραχμὰς [.]
[.] ἄλλο ἀπεδώκαμες [ἐρ]-
[γῶναι ...]ν [.]ωρ[.]ν...
....¹⁰..... τα - - -

3. 10 Δαμόφιλος ἱαρεύς num idem sit qui θυμελοποιός n. 103_{142}, scriba ἱαρομναμόνων 108_{155} (Epidotii), incertum. 14 Β]ουλακίδα Fr. 20. 31 explicavit *Zap.* 21. 30 κλεισία· Fr. confert Hes. κλίσιον· πανδοχεῖον. Itaque de deversorio aliquo velut illo aedificio Ω Kabbadiae agi putes, qui καταγώγιον appellare maluit. Ac putes eandem fuisse κλεισίαν inter τὰ ἐπὶ Κυνὸς σκανάματα sitam n. 109_{151}, et in ea septem οἴκους ἑπτακλίνους et unum praepositi ($7 \times 7 + 1 = 50$). 33 An [ἀ]γωγᾶς τῶ]ν [π]ώρ[ω]ν?

115 AEDIFICIA. Stelae pars inferior; l. 0,83; a. max. 0,76; cr. 0,14. Litterae saec. IV/III. Ξ, non στοιχηδόν. Ed. IG IV¹ 1496. Cf. Partsch *Bürgschaftsr.* 286². 331. 332 *A*. *Phot. Ect.*

- λι - - -
- - - - - - - - - - - - - - - - τὸ ἐπίλ[ο]ι[πον - - -ᶜ·⁸- - -]του- - - -
- ου τὸ ἐπίλοιπον - - -
- ⊟ ⊟ ⊟ = - - - - - - -
- ἄλων....¹⁰....πυλιδ - - - - - - -
[- - - - - - - - - - Εὐθυνόμωι ξύλω]ν ἀναγωγᾶς ἐκ πόλιος 𐅃 Δριμάκωι - - -
[- - -ᶜ·¹⁰- - - κατὰ τὸ ἐπιβ]άλλον ⊟̣...Γ Δριμάκωι [.......¹⁵.......τὸ] ἐπίλοιπον - - -
- - - - - - - - - - - - - λ[ᾶ]μμα ...Γ = = [Ὑμε]ναίωι Ποσιδαίου πρατομηνίαι τᾶ̣ς - - - -
[- - -ᶜ·¹³- - - ἔλα]βε Ἀρχέ̣μανδ[ρ]ος [ὁ ἔ]γγυος τᾶς πλινθοβολίας κατὰ τὸ [ἐπι]βάλλον - - -ᶜ·¹³- - -

- - - - - - -c. 25- - - - - - - Εὐτύχοι τ̣ᾶγ χοινικίδων κατὰ τὸ ἐπιβάλλον Γ Ξ Σί[μω]νι ἅλ[ων καὶ] δεσμοῦ
[- - - -c. 14- - - - Ἀρτ]αμιτίου πρατομηνίαι μίλτου Γ·IIII Σωσιβίωι τᾶν θυρᾶν κατὰ τὸ ἐπιβάλλον
Ξ - Γ I Στράτω̣-
[νι - - - -c. 25- - - - -]ι τᾶγ χοινικίδων καὶ τῶν ἅλων κατὰ τὸ ἐπιβάλ[λον] Θ Θ Θ Γ Ξ [. . . τ]ᾶς στοιᾶς(?)
- - -c. 16- - - καινῶν κατὰ τὸ ἐπιβά[λλ]ον Γ̣ Ξ ἔλαβε Ἀρχέμανδρος ὁ ἔγγυος τᾶς πλιν̣θ̣οβ̣ολίας τὸ ἐπίλοι-
[πον - -c. 11- - Ὑ]μεναίωι τῶν διαφ̣ρ̣αγ̣[μά]τ̣ων τῶν ὑπὸ τὰς φάτνας Ξ - Γ I Ἀειμν(άς)τωι [κλι]μ̣ά̣κων κατὰ τὸ ἐπιβάλ-
λον] ΞΞ - ΓΙCΤΧΧ Λέοντι Κυκλίου πρατομηνίαι τῶν τετραγώνων ξύλων τὸ ἐπίλοιπον ΧΘΘΞ:: Θεοπροπίδα[ι]
τ̣ῶν στρογγύλων ξύλων τὸ ἐπίλοιπον ΘΘΘΓΞΓ Θεοπροπίδαι μίλτου :·ΙΙ Εὐ[θυνόμ]ωι ξύλων ἀναγωγᾶς ἐκ πό-
λιος τὸ ἐπίλοιπον Θ Γ Ξ Γ Δριμάκωι λίθων τομᾶς καὶ ἀναγωγ[ᾶς εἰ]ς τὸ̣ν λ̣ι̣[μέν]α̣ κατὰ τὸ ἐπιβάλλον Θ Θ Γ Ξ Ξ :·
IIIICT Ἑρμίαι τῶν ἅλων τὸ ἐπίλοιπον Γ - Γ·IIII Μελανθίωι - - - - *vac.*

Κατὰ τὸ ἐπιβάλλον i. e. secundum operis locationem. 14 cf. 24. Klaff. 17 πλινθοβολία· cf. Syll.[2] 587_{26} τέκτοσιν τοῖς πλινθοβολήσασιν τὰ περὶ τὸν πυλῶνα καὶ τὸν πύργον ... Agitur de aedificatione e lateribus construenda. 18. 20 χοινικίδων legit Hi. i. e. '*in das Zapfenloch* (portae) *eingelassenes Futterstück*'. Syll.[2] 587_{201} (ubi quae in curru erant χοινικίδας confert Dittenb.). Ebert 56. 20 extr. ΟΣ.ΤΟΙΛΤ Fr. 21 Γ̣Ξ (Fr.) an ΞΞ? || π[λινθοβο]λ[ί]α[ς] Fr.; omnium litterarum vestigia etiam nunc dispiciuntur. Cf. 17. 22 ΔΙΛΙιΛ . . .⁵. . ΙΩΝ. Nostrum supplementum vestigia parva suadent. Agitur de fenestris, cf. Ebert *Fachausdr.* 22, δίοπα φῶτα n. $110_{43/6}$. || ΑΕΙΜΙ'ΤΩΙ Hi. (ΕΜΙΙΓΑΙ Θεμι[σ]τέαι Fr. 24 E tholi rationibus in censum venit Εὔθυνομος Ἀθηναῖος ἐργώνας ($103_{54.58}$). 25 ἀναγωγᾶς εἰς τὸν λι[μέν]α Fr.; exspectamus καταγωγᾶς; at postea ἀνήγαγον εἰς τὸ πλοῖον, quo Epidaurum vehebant. Haec omnia spectant ad aedificia humana, non ad templa deorum.

116 BALINEVM ad viam quae ab Asclepieo versus septentrionem fert. Stela muro inserta, summopere detrita. Saec. IV/III. *Ect.*

omnia deleta
2 - - - - - - - ἐξαγωγίδας ΤΑΙΓΓ
vs. 6 deleti
- - - - - - - - - ἐργών[ας Ἀρι]-
[στ]όνικος [μ]ετὰ τοῦ ἀρχιτέκτο[νος πα]-
ρὰ τῶν ἱαρομναμόνων τῶν [βαλα]-
νείων τᾶς κατασκευᾶς· ἐπ[τὰ ξύ]-
[λω]ν δεκαπέδων - - - - -
. . .⁷. . . δεκαπέδων - - - -
ατα, ἑλόμενος τὸ δεκάπεδον -
πέντε ὀβολῶν τριχάλκου, [ὑφαι]-
ρεθέντος τοῦ ἐπιδεκάτου γί[ν]-
ονται δραχμαὶ τ - - - - -
νος ἐργώνας τᾶν πλακῶν - -
καὶ τῶν ἐπαγωγῶ̣ν ὧν ποτιάγετ[α]-
ι ἐν τᾶι ὁδῶι τᾶι εἰς πόλιν ἀγοὺς[αι]
δεκαπέδων δεκαδύο, ἑλόμενο[ς]
τὸ δεκάπεδον δραχμᾶν δέκα, [ὑ]-
[φ]αιρεθέντος τοῦ ἐπιδεκάτου γ-
ίνονται δραχμαὶ † ὀκτώ.
vacat

2 ἐξαγωγίδες· IG XI 287 A_{50} Παρμένοντι ἀνακαθάραντι τὴν ἐξαγωγίδα τὴν ἐν τῶι θεάτρωι Passow *Handwört.*[4] s. v. '*Ableitungsgraben*' Math. vet. p. 100. 8 Ἀριστ]όνικος ut redemptor ὀροφᾶς Ἀφροδιτίου lateris postici n. 106 $II_{131\cdot136}$. 10 βαλα]νείων· cf. n. 103 *C.* 110 *C.* 22 $12 \times 10 = 120$, $120 - 12 = 108$. Ergo excidit v. 24 (ἑκατὸν) ante ὀκτώ.

117 Ad S. Ioannis Νηστευτοῦ ecclesiolam dirutam. Stela magna superne detrita. Exscripsi. *Ect.*

omnia deleta.
pauca litterarum vestigia versuum quattuor.
- - - - - - - - - - - - ι ἐπάνθισμα ἱαρεῖ Διονυσίωι π[α]ρ' ἐ[γ]γύων Ξενάρχου . .⁷⁻⁸. . ε. . .⁷. . .
- - - - - - - - - - - - - ΛΛ⁻Γ ιξαμένοις καὶ ἐπάνθ̣ι̣ς̣[μα? - -c. 8- -] Εὐμένει :Γ
[- - -c. 10- - ἐπάνθισμα ἱα]ρ̣εῖ Διονυσίωι παρ' ἐγγύ[ο]υ Καλλ[ικ]λ[εῦ]ς ὑπὲρ Ξενάρχου τᾶς ὑπεραμερίας ΞΓ[.]
[- - - - - - - - - - ὑπὲρ Ἀ]ριστ[ά]νακ[τος] τᾶς ὑπεραμερίας . . . IIIII . . Τ Γ Γ Ἀρταμιτίου Εὐμ̣έ̣ν̣ε[ι]
- - - -c. 24- - - - - 𐅄ΟΓΞ⁻:·I μ[ην]ὸς Πανάμου ἐπάνθισμα ἱαρεῖ Διονυσίωι πὰρ τέ[κν]ων κ[α]ὶ ἐγγύ[ου] Ξενά[ρ]-
[χου κ]ὰ τὰν παρ[ο]χ̣ὰ̣ν̣ τ[ῶ]ν ξύλων ΧΓΞ - III Ἀπελλαίου ἐπάνθισμα ἱαρεῖ Διονυσ̣ίωι παρ' ἐγγύων Ξενάρχου τᾶς ὑπ̣ε̣-
[ραμερί]α[ς, τᾶν στ]αλᾶν [ἐπ'] Εὐδαμίδα τᾶς ὑπεραμερίας τὸ λοιπὸν ἀπέδωκαν συν ν. . . αι ·:Γ⁻Γ:IIII ἐπάνθις[μα]
[ἱαρεῖ Διονυσίωι - - - - τῶν] ξύλων τᾶς παροχᾶς τᾶς ὑπεραμερίας ο[ὗ] μὴ ἀπέδωκε [καὶ ο]ὗ κατεδικά[σθ]η *v*
- -c. 16- - ἐννέ' ἀμέραις - - ΓΞΓ λόγ̣ος δαπάνας ΜΧΓΞ>IIIIΤ. ιι *vac.*

5 sqq. ἐπάνθισμα (an ἐπ' ἄνθισμα?)· sacerdotem pro unaquaque solutione multarum debitarum coronam floream, vel potius fixum coronae pretium accepisse putes. 5 sqq. ἱαρεὺς Διονύσιος· cf. Διονύσιος κατάλογος n. 108_{89} in Epidotii rationibus. 7 Καλλικλῆς ἔγγυος· cf. in rationibus Epidotii scribam hieromnemonum n. 108_{144}. 11 Εὐδαμίδας sacerdos diversus certe ab Εὐδαμίδα̣ ἐγγύῳ̣ in Asclepiei rationibus n. 102_{35}.

118 TEMPLVM. Tabula opisthographa infra mutila; l. 0,39, a. max. 0,93, cr. 0,08. Litterae saec. III a. Chr. In latere postico nihil fere legebatur. Miseras lacinias ed. Fraenkel IG IV^1 1495. Non vidimus.

. ΙΛΛΛ - - -
. ΔΡω - - -
ἸΝωΝ Ἡ - - -
tres vss. deleti
Θεοφίλ[ωι - - - - - - - - - - - - - - -]
ωι ⁝⁝⁝[- - - - - - - - - - - - - - - γρα]-
μμάτων ἐ[νκοπᾶς - - - - - - - - - - - - -]
ων πριστίω[ν - - - - - - - - - - - - - -]
κη ξύλω[ν - - - - - - - - - - - - - - -]
⁝⁝⁝ ἄγαλμα - - - - - - - - - - - - - -
ΙΙ ῥυ[- - - - - - - - - - - - - - - - ἀ]-
γωγᾶς εἰς Κ[εγχρέας - - - - - - - - - - -]
c. 37 vss. deleti
. . ωι - - -
Ἑλανί[κωι] ⁝⁝, ΓΧΩΝΙΟΚΛΙ - - - - - - - - -
μερίδων Ἡρα[κλείδαι? . . . 6 . . .]ΓΙ·[.]Ι [- - c. 7 - - ἄλ]λο [.]ΙΙΙΙ . . .,
[ἄ]λλο ΞΙC, [.]ΙΥ . ΛΙΟΙΟΥ . . . 6 . . ρειου Ι - - c. 8 - - Ο⁻ΓΡΟΣ . . 3–4 . .
. ., Cάτυρος ΙC [. . . 6 . . ., C]άτυρος [. . ζ]υ[γ]αστρίων ἄλ[λων]
[τ]ριῶν, Cάτυρο[ς] ΛΛΙ . . . 7 . . . ΝΛ . . . . Ν·ΙΛΛ . Ι . ΝΣΑΠ·
. ια, Ἰcάνωρ Ι ζυγαστρί[ων τριῶν (?), Φ]ιλολάκ⟦ι⟧ων [ζυ]-
[γας]τρίου, Φίλων Ι καὶ ΙΙ οκων . . ων Ι ἀγγροφέων Δαμο-
. . . μαρη . . Λ . ρι - - - c. 14 - - - φορα, Εὐδάμωι
[. . θ]ύραι, ... οτας - - - c. 14 - - - ΙC, Κάλωνι θύ[ρα], Ἰcάνο[ρι]
[πεν]τήκο[ν]τα [πέντε c]ινδονίων, Cωγένης τ[εc]cάρων, Δαί-
. . . 7 . . . μ. δη . . . . 9 . . . . ον [ζυγ]άστρου, Δαμοιταν (?) . . .
- - - - - - - - ν[. . ζ]υγά[ςτ]ρου, Δαμοτέλης ⁝⁝ . . 5 . .
. . . . κ[. . . 6 . . . cι]νδόνος [λίν]α ΘΡ[Ξ] - ⁝⁝ ⁻ . . ον . . . . 8 . . . .
. . 5 . . ο . . 5 . . ης . . cινδόνος λίνα
- - c. 9 - - cινδονοcτολης - - -
- - c. 10 - - ναὸν ⁝ δ[ύο] μονόθ[υ]ρα [θ]υ[ρώμ]α[τα - - - - - - -]
- - - c. 14 - - - ουηι . ν - -

15 πριστίω[ν? Cf. Hesych. πρίστης· ῥίνη, πρίων, cum πρίστις alio sensu usurpari soleat. 17 ἄγαλμα Isidis? cf. ad v. 73. 19 cf. 103_{40} κομιδᾶς λίθων ἐγ λατομίας ἐcc Κεγχρέας Fr. 58 Ἔχωνι Fr. 59 ΙΙΓΡΙΛΩΝΗΡΛ Fr.; idem suppl. coll. n. 106 I_{23}. 60 velut Ἀμφ]οτερός. 61 C]άτυρος . . . Υ . αcτριων, ἀστρία i. q. stellulae Fr. Suppl. Hi., cf. v. 63sqq., ζύγαστρα Delphica Syll. IV p. 371 s. v. et Pomtow ibid. I p. 372 n. 41; Phot. ζύγαστρον· κιβωτός. Cistis donaria minora conservabantur, sicut κιβωτίοις (IG I^2 386_{19}). 63 ΙΣΛΝΩΡΙ . ΥΙΑΣΤΗ, ubi [θ]ύρας Fr. Φιλολακίωνι diffido. 63/4 . . . | . . . ΓΡΙΟΥ. 64 Non Κωμ[ωιδί]ωνι. An πόκων? ἀγγροφέων cf. 112_{21}. Klaff. 65 cf. ξύλων πεδαφορᾶς 102_{276}. 66 ΥΒΑΙ Fr. 67 ΙΗΚΟ ΣΤΑ Fr. 67 cινδονίων, 71/2 cινδόνος, 73 ναόν ad Isidis templum rettulit Fr., cuius aras sero aevo dedicatas habes n. 534 et 535; cf. *I. Perg.* 336; $Syll.^3$ 1129. 68 Δαμοίτα[ς] iure postulat Fr.

119 Media stelae pars, a dextra margo; l. max. 0,94. a. max. 1,05, cr. 0,16, στοιχηδόν. Kabbadias *Tageb.* p. 120 'ἐκ τῶν παλαιῶν'. *Phot.*, unde pauca addere licuit.

- - - - - - - - - ας τετ-
- - - - - - - - - ουχ . .
[- - - - τετρα]πέδων ἑκατὸν
[- - - -, ἐλ]ομένωι τὸ τετράπε-
[δον - - - π]ε(ν)τήκοντα
- - - - - - - ΧΧ [Εὐ]ρ[υ]ν[ό]ωι
[- - - - - κ]αὶ τᾶς θέσιος τοῦ
- - - - - - - ων . . νε . . c . .
- - - - - - - τετραπέδων ευ[.]
- - - - - - - τετραπέδων . . .
[- - - - - τεccα]ράκοντα τετό-
[ρων - - - - -]εκατον . . . ε .
- - - - - - τετραπέδων πεν-
[τ - -] τετραπέδων πεντήκοντα ἕ[ξ]
[- - - - - πεν]τή[κ]οντα
2 vss. vac.?
- - - - - - τετραπέδων
- - - - - - πεντήκοντα δύ-
[ο - - - - - -], ἑλομένωι . .
[- - - λίθων] το[μ]ᾶς καὶ ἀγω-
[γᾶς - - - - - - - - -]
- - - - - - - - - - -
- - - - - - - δραχμᾶν
- - - - - - - - - - -
- - - - - - - γίνεται δ[ρα]-
[χμαὶ - - - - - - - c]τύλου

120 Stela ubi nunc inveniatur, incertum est; imaginem photographicam olim faciendam curaverat Kabbadias. In marginis sinistri parte inferiore pauca dispiciuntur, velut καλυπτήρων - -, ζευγέων δέκα ε - -

---

APPENDIX.

Epidauriorum nummi (cf. p. 43).

	n. 102	n. 103	alibi
δραχμαὶ 10000	?	?	M
» 9000	XXXXXXXXX	𐅆XXXX	𐅆XXXX
» 5000	XXXXX	𐅆	𐅆
» 1000	X	X	X
» 900	BBBBBBBBB	𐅅BBBB	𐅅BBBB
» 500	BBBBB	𐅅	𐅅
» 100	B	B, H$_{125\cdot127}$	B
» 90	= = = = -	= = = = -, 𐅄 = =	𐅄 = =
» 50	= = -	= = -, Γ, 𐅄 sim.	𐅄
» 10	-	-	-
» 9	::::·	Γ::	Γ::
» 5	::·	::·, Γ	Γ
» 1	·	·	·

1 μνᾶ (Aeginetica) = 70 μναῖ (apud Arcades) n. 42. Numerorum parva discrimina (𐅄 𐅆, 𐅅 ΓB similia) in hac editione minore consulto neglegimus.

1 δραχμά	= 6 ὀβολοι		
IIIII	= 5 ὀβολοί		
I	= 1 ὀβελός	= 24	χάλκεοι
CT	= $^3/_4$ ὀβολοί	= 18	»
C	= ἡμιωβέλιον	= 12	»
T	= τεταρτημόριον	= 6	»
𐅆		= 5	»
≤≤		= 4	»
XXX	= τρίχαλκον	= 3	»
XX	= ≤ (velut στατήρ)	= 2	»
X		= 1	χάλκεος.

B. Keil *Ath. Mitt.* XX 64 not., qui affert Imhoof-Blumer *Griech. Münzen* 9 (Argivorum ὀβολός = 16 vel plures χάλκεοι); Keil ad *I. Priene* 174_{32}; Fraenkel IG IV[1] p. 325; Tod *Ann. Br. Sch.* XVIII 1911/2, 104. Si obolus fuisset sedecim χαλκέων, quattuor χάλκεοι idem valuissent quod τεταρτημόριον; 'si fuissent viginti, notae T iuxta Γ non foret locus' Fraenkel p. 325. Hinc obolum XVIII chalcorum effecit. At n. 110_{45} habes ἐννέα χαλκέων id quod hac lege i. qu. ἡμιωβέλιον = C foret. Quare supra correxi.

II. RES SACRAE.

1. SANATIONES.

121—124 SANATIONVM TABVLAE. Pausanias haud dubie αὐτόπτης II 27, 3 στῆλαι δὲ εἱστήκεσαν ἐντὸς τοῦ περιβόλου τὸ μὲν ἀρχαῖον καὶ πλέονες, ἐπ' ἐμοῦ δὲ ἓξ λοιπαί· ταύταις ἐγγεγραμμένα καὶ ἀνδρῶν καὶ γυναικῶν ἐστιν ὀνόματα ἀκεσθέντων ὑπὸ τοῦ Ἀσκληπιοῦ, προσέτι δὲ καὶ νόσημα ὅ,τι ἕκαστος ἐνόσησε καὶ ὅπως ἰάθη· γέγραπται δὲ φωνῇ τῇ Δωρίδι. Strabonis verba 374 C τῶν ἀνακειμένων πινάκων, ἐν οἷς ἀναγεγραμμέναι τυγχάνουσιν αἱ θεραπεῖαι, ad solas dedicationes ab aegrotis oblatas, non ad illas magnas tabulas a sacerdotibus compositas, unice recte rettulit Dittenberger. De testimonio Paus. II 36, 1 v. ad n. 122 XXXIII.

121 STELA PRIMA. L. 0,76, a. 1,71, cr. 0,18. Litterae quarti saeculi a. Chr. partis alterius plerumque στοιχηδὸν ornatae, nec tamen sine exceptionibus; syllabae fere semper bene divisae (88/9 ὠ|ς propter spatii exiguitatem); vss. 120/6 constipatis litteris. Nota formam Ξ (non 𝌆). A, Δ ceteris raro minus, E Θ O Ω reliquis plerumque paullulo minores, M N Π ≤ ≤. Edd. Kabbadias Ἐφ. 1883, 199, 59 et *F* 1 et Ἱερόν 256 cum phot. (*SGDI* 3339; Michel 1069; Syll.[2] 802); IG IV[1] 951 addito fragmento Baunack *Ep.* 20; Kabbadias *F* I 3*a* (Weinreich Syll.[3] 1168). Cf. Baunack *Ep.* 8. 15 et Philol. LIV 21; v. Wilamowitz *Hermes* XIX 449 et *Is.* 3[1]; Zacher *Hermes* XXI 467; Diels ibid. XXIII 286; Buecheler *Rh. Mus.* XXXIX 620; Blinkenberg *NT* X 263 et *Miraklerne* 1917; Wilhelm *Jahresh.* III 40; Arabantenos Ἀσκληπιός 1907, 79; Deubner De incubatione 1900; Weinreich *Ant. Heilwunder* 1909 et in Sylloges (v. supra) commentario; al. Aliquot litteras a se pridem lectas, postea evanidas a. 1929 nobis indicavit Blinkenberg. *Ect.*

θ ε ό ς. *v* Τ ύ χ α [ἀ γ] α θ ά.

[Ἰά]ματα τοῦ Ἀπόλλωνος καὶ τοῦ Ἀσκλαπιοῦ.

[Κλ]εὼ πένθ' ἔτη ἐκύησε. *v* αὕτα πέντ' ἐνιαυτοὺς ἤδη κυοῦσα ποὶ τὸν — fere στοιχ. — I
[θε]ὸν ἱκέτις ἀφίκετο καὶ ἐνεκάθευδε ἐν τῶι ἀβάτωι· ὡς δὲ τάχισ-
[τα]· ἐξῆλθε ἐξ αὐτοῦ καὶ ἐκ τοῦ ἱαροῦ ἐγένετο, κόρον ἔτεκε, ὃς εὐ-

[θ]ὺς γενόμενος αὐτὸς ἀπὸ τᾶς κράνας ἐλοῦτο καὶ ἅμα τᾶι ματρὶ
[π]εριῆρπε. τυχοῦσα δὲ τούτων ἐπὶ τὸ ἄνθεμα ἐπεγράψατο· ‘οὐ μέγε-
[θο]ς πίνακος θαυμαστέον, ἀλλὰ τὸ θεῖον, | πένθ’ ἔτη ὡς ἐκύησε ἐγ γασ-
τρὶ Κλεὼ βάρος, ἔστε | ἐγκατεκοιμάθη καί μιν ἔθηκε ὑγιῆ’. τριέτης
[φο]ρά. v Ἰθμονίκα Πελλανὶς ἀφίκετο εἰς τὸ ἱαρὸν ὑπὲρ γενεᾶς. ἐγ[κατα]- II
[κοι]μαθεῖσα δὲ ὄψιν εἶδε· ἐδόκει αἰτεῖσθαι τὸν θεὸν κυῆσαι κό-
[ραν], τὸν δ’ Ἀσκλαπιὸν φάμεν ἔγκυον ἐσσεῖσθαί νιν, καὶ εἴ τι ἄλλο
α[ἰτ]οῖτο, καὶ τοῦτό οἱ ἐπιτελεῖν, αὐτὰ δ’ οὐθενὸς φάμεν ἔτι ποι-
δε[ῖ]σθαι. ἔγκυος δὲ γενομένα ἐγ γαστρὶ ἐφόρει τρία ἔτη, ἔστε πα-
ρέβαλε ποὶ τὸν θεὸν ἱκέτις ὑπὲρ τοῦ τόκου· ἐγκατακοιμαθεῖσα
δὲ ὄψ[ι]ν εἶδε· ἐδόκει ἐπερωτῆν νιν τὸν θεόν, εἰ οὐ γένοιτο αὐτᾶι
πάντα ὅσσα αἰτήσαιτο καὶ ἔγκυος εἴη· ὑπὲρ δὲ τόκου ποιθέμεν
νιν οὐθέν, καὶ ταῦτα πυνθανομένου αὐτοῦ, εἴ τινος καὶ ἄλλου δέ-
οιτο λέγειν, ὡς ποησοῦντος καὶ τοῦτο. ἐπεὶ δὲ νῦν ὑπὲρ τούτου
παρείη ποτ’ αὐτὸν ἱκέτις, καὶ τοῦτό οἱ φάμεν ἐπιτελεῖν. μετὰ δὲ
τοῦτο σπουδᾶι ἐκ τοῦ ἀβάτου ἐξελθοῦσα, ὡς ἔξω τοῦ ἱαροῦ ἦς, ἔτε-
κε κόραν. v Ἀνὴρ τοὺς τᾶς χηρὸς δακτύλους ἀκρατεῖς ἔχων πλὰν III
ἑνὸς ἀφ̣ίκετο ποὶ τὸν θεὸν ἱκέτας· θεωρῶν δὲ τοὺς ἐν τῶι ἱαρῶι
πίνακας ἀπίστει τοῖς ἰάμασιν καὶ ὑποδιέσυρε τὰ ἐπιγράμμα-
[τ]α. ἐγκαθ̣εύδων δὲ ὄψιν εἶδε· ἐδόκει ὑπὸ τῶι ναῶι ἀστραγαλίζον-
[τ]ος αὐτοῦ καὶ μέλλοντος βάλλειν τῶι ἀστραγάλωι, ἐπιφανέντα
[τ]ὸν θεὸ̣ν ἐφαλέσθαι ἐπὶ τὰν χῆρα καὶ ἐκτεῖναί οὑ τοὺς δακτύλ-
λους· ὡς δ’ ἀποβαίη, δοκεῖν συγκάμψας τὰν χῆρα καθ’ ἕνα ἐκτείνειν
τ̣ῶν δακτ̣ύλων· ἐπεὶ δὲ πάντας ἐξευθύναι, ἐπερωτῆν νιν τὸν θεόν,
εἰ ἔτι ἀπ̣ιστησοῖ τοῖς ἐπιγράμμασι τοῖς ἐπὶ τῶμ πινάκων τῶν
κατὰ τὸ ἱε̣ρόν (!), αὐτὸς δ’ οὐ φάμεν. ‘ὅτι τοίνυν ἔμπροσθεν ἀπίστεις
αὐτο[ῖ]ς οὐκ ἐοῦσιν ἀπίστοις, τὸ λοιπὸν ἔστω τοι,’ φάμεν, ‘Ἄπιστος
ὄν̣[ομα]’. ἁμέ̣ρας δὲ γενομένας ὑγιὴς ἐξῆλθε. Ἀμβροσία ἐξ Ἀθανᾶν IV
[ἁτερό]πτ[ι]λλος. αὕτα ἱκέτις ἦλθε ποὶ τὸν θεόν· περιέρπουσα δὲ
[κατὰ τ]ὸ ἱα̣ρὸν τῶν ἰαμάτων τινὰ διεγέλα ὡς ἀπίθανα καὶ ἀδύνα-
[τα ἐόν]τα, χωλοὺς καὶ τυφλοὺ[ς] ὑγιεῖς γίνεσθαι ἐνύπνιον ἰδόν-
[τας μό]νον. ἐγκαθεύδουσα δὲ ὄψ̣ιν εἶδε· ἐδόκει οἱ ὁ θεὸς ἐπιστὰς
[εἰπεῖν], ὅτι ὑγιῆ μέν νιν ποιησοῖ, μισθὸμ μάντοι νιν δεησοῖ ἀν-
[θέμεν ε]ἰς τὸ ἱαρὸν ὗν ἀργύρεον ὑπόμναμα τᾶς ἀμαθίας. εἴπαν-
[τα δὲ ταῦτ]α̣ ἀνσχίσσαι οὑ τὸν ὀπτίλλον τὸν νοσοῦντα καὶ φάρμ[α]-
[κόν τι ἐγχέ]αι· ἁμέρας δὲ γενομένας ὑγιὴς ἐξῆλθε. Παῖς ἄφωνος. V
[οὗτος ἀφί]κετο εἰς τὸ ἱαρὸν ὑπὲρ φωνᾶς· ὡς δὲ προεθύσατο καὶ
[ἐπόησε τὰ] νομιζόμενα, μετὰ τοῦτο ὁ παῖς ὁ τῶι θεῶι πυρφορῶν
[ἐκέλετο, π]οὶ τὸμ πατέρα τὸν τοῦ παιδὸς ποτιβλέψας, ὑποδέκεσ-
[θαι αὐτὸν ἐ]νιαυτοῦ, τυχόντα ἐφ’ ἃ πάρεστι, ἀποθυσεῖν τὰ ἴατρα.
[ὁ δὲ παῖς ἐξ]απίνας ‘ὑποδέκομαι’, ἔφα· ὁ δὲ πατὴρ ἐκπλαγεὶς πάλιν
[ἐκέλετο αὐ]τὸν εἰπεῖν· ὁ δ’ ἔλεγε πάλιν· καὶ ἐκ τούτου ὑγιὴς ἐγέ-
[νετο]. Πάνδαρ]ος Θεσσαλὸς στίγματα ἔχων ἐν τῶι μετώπωι. οὗτος VI
[ἐγκαθεύδων ὄ]ψιν εἶδε· ἐδόκει αὐτοῦ τα[ι]νίαι καταδῆσαι τὰ στί-
[γματα ὁ θεὸς κα]ὶ κέλεσθαί νιν, ἐπεί [κα ἔξω] γένηται τοῦ ἀβάτου,
[ἀφελόμενον τὰ]ν ταινίαν ἀνθέμε[ν εἰ]ς̣ τὸν ν̣αόν· ἁμέρας δὲ γενο-
[μένας ἐξανέστα] καὶ ἀφήλετο τ[ὰν ται]νίαν, καὶ τ̣ὸ μὲν πρόσωπον
[κενεὸν εἶδε τῶ]ν στιγμάτω[ν, τ]ὰν δ[ὲ τ]αινίαν ἀνέθηκε εἰς τὸν να-
[όν, ἔχουσαν τὰ γρ]άμματ[α] τ̣ὰ ἐκ τοῦ μετώ̣που. Ἐχέδωρος τὰ Π̣ανδά- VII
[ρου στίγματα ἔλ]αβε ποὶ τοῖς ὑπάρχουσιν. οὗτος λαβὼν πὰρ [Παν]-
[δάρου χρήματα], ὥστ’ ἀνθέμεν τῶι θεῶι εἰς Ἐπίδαυρον ὑπὲρ αὐ[τοῦ],
[οὐκ] ἀπ̣εδίδου ταῦτα· ἐγκαθεύδων δὲ ὄψιν εἶδε· ἐδόκει οἱ ὁ θε[ὸς]
ἐπιστὰς ἐπερωτῆν νιν, εἰ ἔχοι τινὰ χρήματα πὰρ Πανδάρου ἐ[ξ Εὐ]-
θηνᾶν ἄνθεμα εἰς τὸ ἱαρόν· αὐτὸς δ’ οὐ φάμεν λελαβήκειν οὐθὲ[ν]
τοιοῦτον παρ’ αὐτοῦ· ἀλλ’ αἴ κα ὑγιῆ νιν ποήσαι, ἀνθησεῖν οἱ εἰκό-
να γραψάμενος· μετὰ δὲ τοῦτο τὸν θεὸν τὰν τοῦ Πανδάρου ταινί-

αν περιδῆσαι περὶ τὰ̣ στίγματά οὑ καὶ κέλεσθαί νιν, ἐπεί κα ἐξ-
έλθηι ἐκ τοῦ ἀβάτου, ἀφελόμενον τὰν ταινίαν ἀπονίψασθαι τὸ
πρόσωπον ἀπὸ τᾶς κράνας καὶ ἐγκατοπτρίξασθαι εἰς τὸ ὕδωρ· ἁ-
μέρας δὲ γενομένας ἐξελθὼν ἐκ τοῦ ἀβάτου τὰν ταινίαν ἀφήλετο,
τὰ γράμματα οὐκ ἔχουσαν· ἐγκαθιδὼν δὲ εἰς τὸ ὕδωρ ἑώρη τὸ αὑτοῦ
πρόσωπον ποὶ τοῖς ἰδίοις στίγμασιν καὶ τὰ τοῦ Πανδ(ά)ρου γρά[μ]-
ματα λελαβηκός. *v* Εὐφάνης Ἐπιδαύριος παῖς. οὗτος λιθιῶν ἐνε[κά]- VIII
θευδε· ἔδοξε δὴ αὐτῶι ὁ θεὸς ἐπιστὰς εἰπεῖν· »τί μοι δωσεῖς, αἴ τύ
κα ὑγιῆ ποιήσω;« αὐτὸς δὲ φάμεν ⸢δέκ⸣ ἀστραγάλους⸣. τὸν δὲ θεὸν γελά-
σαντα φάμεν νιν παυσεῖν· ἁμέρας δὲ γενομένας ὑγιὴς ἐξῆλθε.
ἀνὴρ ἀφίκετο ποὶ τὸν θεὸν ἱκέτας ἀτερόπτιλλος οὕτως, ὥστε τὰ IX
βλέφαρα μόνον ἔχειν, ἐνεῖμεν δ' ἐν αὐτοῖς μηθέν, ἀλλὰ κενεὰ ε[ἶ]-
μεν ὅλως. ἔλεγον (*corr.* ἐγέλων) δή τινες τ̣ῶν ἐν τῶι ἱαρῶι τὰν εὐηθίαν αὐτοῦ, τὸ
νομίζειν βλεψεῖσθαι ὅλως μηδεμίαν ὑπαρχὰν ἔχοντος ὀπτίλ-
λου ἀλλ' ἢ χώραμ μόνον. ἐγκαθ̣[εύδο]ν̣τι οὖν αὐτῶι ὄψις ἐφάνη· ἐδό-
κει τὸν θεὸν ἑψῆσαί τι φά[ρμακον, ἔπε]ι̣τα διαγαγόντα τὰ βλέφα-
ρα ἐγχέαι εἰς αὐτά· ἁμέρ[ας δὲ γενομέν]ας βλέπων ἀμφοῖν ἐξῆλθε.
κώθων. *v* σκευοφόρος εἰ̣[ς τὸ] ἱαρ[ὸν] ἕρ̣π̣ων, ἐπεὶ ἐγένετο περὶ τὸ δε-
καστάδιον, κατέπετ̣ε· [ὡς δὲ] ἀνέστα, ἀνῶιξε τὸγ γυλιὸ̣ν κα[ὶ ἐ]πεσκό-
πει τὰ συντετριμμένα σκ[ε]ύη· ὡς δ' εἶδε τὸγ κώθωνα κατε[αγ]ότα,
ἐξ οὗ ὁ δεσπότας εἴθιστο [π]ίνειν, ἐ̣λυπεῖτο καὶ συνετίθει [τὰ] ὄ-
στρακα καθιζόμενος. ὁδο[ι]πόρος οὖν τις ἰδὼν αὐτόν· »τ̣ί, ὦ ἄθλιε,« [ἔ]-
φα, »συντίθησι τὸγ κώθωνα [μά]ταν; τοῦτον γὰρ οὐδέ κα ὁ ἐν Ἐπιδαύ-
ρωι Ἀσκλαπιὸς ὑγιῆ ποῆσαι δύναιτο.« ἀκούσας ταῦτα ὁ παῖς συν-
θεὶς τὰ ὄστρακα εἰς τὸγ γυλιὸν ἦρπε εἰς τὸ ἱερόν· ἐπεὶ δ' ἀφίκε-
το, ἀνῶιξε τὸγ γυλιὸν καὶ ἐξαιρεῖ ὑγιῆ τὸγ κώθωνα γεγενημέ-
νον καὶ τῶι δεσπόται ἡρμάνευσε τὰ πραχθέντα καὶ λεχθέ⟦ε⟧ντα· ὡ-
ς δὲ ἄκουσ', ἀνέθηκε τῶι θεῶι τὸγ κώθωνα. *vac.*
Αἰσχίνας ἐγκεκοιμισμένων ἤδη τῶν ἱκετᾶν ἐπὶ δένδρεόν τι ἀμ- XI
βὰς ὑπερέκυπτε εἰς τὸ ἄβατον. καταπετὼν οὖν ἀπὸ τοῦ δένδρεος
περὶ σκόλοπάς τινας τοὺς ὀπτίλλους ἀμφέπαισε· κακῶς δὲ δια-
κείμενος καὶ τυφλὸς γεγενημένος καθικετεύσας τὸν θεὸν ἐνε-
κάθευδε καὶ ὑγιὴς ἐγένετο. *vac.*
Εὔιππος λόγχαν ἔτη ἐφόρησε ἓξ ἐν τᾶι γνάθωι· ἐγκοιτασθέντος XII
δ' αὐτοῦ ἐξελὼν τὰν λόγχαν ὁ θεὸς εἰς τὰς χῆράς οἱ ἔδωκε· ἁμέρας
δὲ γενομένας ὑγιὴς ἐξῆρπε τὰν λόγχαν ἐν ταῖς χερσὶν ἔχων.
ἀνὴρ Τορωναῖος δεμελέας. οὗτος ἐγκαθεύδων ἐνύπνιον εἶδε· XIII
ἔδοξέ οἱ τὸν θεὸν τὰ στέρνα μαχαίρ̣αι ἀνσχίσσαντα τὰς δεμε-
λέας ἐξελεῖν καὶ δόμεν οἱ ἐς τὰς χεῖρας καὶ συνράψαι τὰ στή-
θη· ἁμέρας δὲ γενομένας ἐξῆλθε τὰ θηρία ἐν ταῖς χερσὶν ἔχων
καὶ ὑγιὴς ἐγένετο· κατέπιε δ' αὐτὰ δολωθεὶς ὑπὸ ματρυιᾶς ἐγ κυ-
κᾶνι ἐμβεβλημένας ἐκπιών. *vac.*
ἀνὴρ ἐν αἰδοίωι λίθον. οὗτος ἐνύπνιον εἶδε· ἐδόκει παιδὶ καλῶι XIV
συγγίνεσθαι, ἐξονειρώσσων δὲ τὸλ λίθον ἐγβάλλει καὶ ἀνελόμε-
νος ἐξῆλθε ἐν ταῖς χερσὶν ἔχων. *vac.*
Ἑ̣ρμόδικος Λαμψακηνὸς ἀκρατὴς τοῦ σώματος. τοῦτον ἐγκαθεύ- XV
δοντα ἰάσατο καὶ ἐκελήσατο ἐξελθόντα λίθον ἐνεγκεῖν εἰς τὸ
ἱαρὸν ὁπόσσον δύναιτο μέγιστον· ὁ δὲ τὸμ πρὸ τοῦ ἀβάτου κείμε-
νον ἤνικε. *vac.*
Νικάνωρ χωλός· τούτου καθημένου παῖς τ̣ις ὕπαρ τὸν σκίπωνα ἁρ- XVI
πάξας ἔφευγε· ὁ δὲ ἀστὰς ἐδίωκε καὶ ἐκ τούτου ὑγιὴς ἐγένετο.
ἀνὴρ δάκτυλον ἰάθη ὑπὸ ὄφιος· οὗτος τὸν τοῦ ποδὸς δάκτυλον ὑ- XVII
πὸ του ἀγρίου ἕλκεος δεινῶς διακείμενος μεθάμερα ὑπὸ τῶν θε-
ραπόντων ἐξενειχθεὶς ἐπὶ ἑδράματός τινος καθῖ̣ζε· ὕπνου δέ νιν
λαβόντος ἐν τούτωι δράκων ἐκ τοῦ ἀβάτου ἐξελθὼν τὸν δάκτυλον
ἰάσατο τᾶι γλώσσαι καὶ τοῦτο ποιήσας εἰς τὸ ἄβατον ἀνεχώρησε.

πάλιν. ἐξεγερθεὶϲ δὲ ὡϲ ἦϲ ὑγιήϲ, ἔφα ὄψιν ἰδεῖν, δοκεῖν νεανίϲ-
κον εὐπρεπῆ τὰμ μορφὰν ἐπὶ τὸν δάκτυλον ἐπιπῆν φάρμακον.
Ἀλκέταϲ Ἁλικόϲ· οὗτοϲ τυφλὸϲ ἐὼν ἐνύπνιον εἶδε· ἐδόκει οἱ ὁ θεὸϲ ποτελθὼν τοῖϲ δα- XVIII
κτύλοιϲ διάγειν τὰ ὄμματα καὶ ἰδεῖν τὰ δένδρ̣η πρᾶτον τὰ ἐν τῶι ἱαρῶι. ἁμέραϲ δὲ γε-
νομέναϲ ὑγιὴϲ ἐξῆλθε. *v* Ἡραιεὺϲ Μυτιληναῖοϲ· οὗτοϲ οὐκ εἶχε ἐν τᾶι κεφαλᾶι XIX
τρίχαϲ, ἐν δὲ τῶι γεν̣είωι παμπόλλαϲ. αἰϲχυνόμενοϲ δ̣ὲ [ὡϲ] καταγελάμενοϲ ὑπ[ὸ]
τῶν ἄλλων ἐνεκάθευδε. τὸν δὲ ὁ θεὸϲ χρίϲαϲ φαρμάκωι τὰν κεφαλὰν ἐπόηϲε
τρίχαϲ ἔχειν. *vac.* Λύϲων Ἑρμιονεὺϲ παῖϲ ἀϊδήϲ. οὗ[τοϲ] ὕπαρ ὑπὸ κυνὸϲ τῶν XX
κατὰ τὸ ἱαρὸν θε[ραπ]ευόμενοϲ τοὺϲ ὀπτίλλουϲ ὑγ̣[ιὴ]ϲ ἀπῆλθε.

Minores discrepantias lectionum leviaque quadratarii menda videas in editione maiore et apud Weinreichium. 5 ἐκ τοῦ ἱαροῦ ἐγένετο· Paus. II 27, 1 οὐδὲ ἀποθνῄϲκουϲιν οὐδὲ τίκτουϲιν αἱ γυναῖκέϲ ϲφιϲιν ἐντὸϲ τοῦ περιβόλου. Kabb. 10 φο]ρά pro κό]ρα Preuner *Rh. Mus.* LXXIV 1925, 231. 44/5 ὑποδέκεϲ|[θαι αὐτόν O. Hoffmann *Glotta* I 1907, 68. 45 ἴατρα Hes. s. v. μιϲθοὶ θεραπείαϲ. 53 [κενεὸν εἶδε] suppl. Hi. pro [ἐκ̣εκάθαρτο]. 58/9 ἐξ Εὐ]|θηνᾶν Hi. ap. Weinr.; Ἀ]θηνᾶν Dittenberger. Cf. IG XII 1, 264. 62 περι-δῆϲαι· prius ι in rasura pro ε scriptum. 74 ΕΛΕΓΟΝ· ἔψεγον Fr., ἐγέλων Zacher 467 ad scripturam priscae aetatis refugiens, cf. Xen. conv. II 19 τόδε γελᾶτε. 79 δεκαϲτά-διον· sequitur in via publica decimum quodque stadium (10 st. Olympica = 1927 m) lapide notatum fuisse, sicut hodie chiliometra. 98 δεμελέαϲ· Hes. δεμβλεῖϲ· βδέλλαι. Buecheler *Rh. Mus.* XXXIX 620; Bechtel *Dial.* II 508. 109/10 Lapidi iam tum conspicuo postea inscriptum est carmen n. 125. 119 ἐπιπῆν· Hes. πῆν· πῆ καὶ πῆν ἐπὶ τοῦ κατάπαϲϲε καὶ καταπάϲϲειν, Buecheler l. l., Bechtel 513. 120 οἱ post ἐδόκει legit Bl.

122 STELA ALTERA. L. 0,74, a. 1,69, cr. 0,15. Litterae paucis exceptis ϲτοιχηδὸν dispositae. Edd. Kabbadias Ἐφ. 1885, 1, 80 et *F.* I 2 et Ἱερόν 261 cum tab. phot. (*SGDI* 3340; Syll.² 803), IG IV 1, 952 (Weinreich Syll.³ 1169). Cf. v. Wilamowitz *Herm.* XIX 442 et *Isyll.* 3. 4; Diels *Herm.* XXIII 286; Baunack Philol. LIV 1895, 22; Wilhelm *Jahresh.* III 1900, 40. Nova fragmenta duo (v. 58—85) addidit Kabbadias Ἐφ. 1918, 156 phot.; cf. iam eundem *Mélanges* Perrot 41 et Πρακτ. 1900, 17 (Weinreich Syll.³ 1169 [87]; Schwyzer 109; Tod *Proceed. R. Soc. of Medicine* XV 1922, 24/6). *Ect. phot.*

XXI Ἀ̣ράτα [Λά]καινα ὑδρωπ[α. ὑπ]ὲρ ταύταϲ ἁ μάτηρ ἐνεκάθευδεν ἐλ Λακεδαίμο-
νι ἔϲϲα[ϲ] καὶ ἐνύπνιον [ὁ]ρῆι· ἐδόκει τᾶϲ θυγατρόϲ οὑ τὸν θεὸν ἀποταμόν-
τα τὰν κ[ε]φαλὰν τὸ ϲῶμα κραμάϲαι κάτω τὸν τράχαλον ἔχον· ὡϲ δ' ἐξερρύα ϲυ-
χνὸν ὑγρ̣[ό]ν, καταλύϲαντα τὸ ϲῶμα τὰν κεφαλὰν πάλιν ἐπιθέμεν ἐπὶ τὸν αὐ-
χένα· ἰδο[ῦ]ϲ̣α δὲ τὸ ἐνύπνιον τοῦτο ἀγχωρήϲαϲα εἰϲ Λακεδαίμονα κατα-
λαμβάνε̣[ι τ]ὰν θυγατέρα ὑγιαίνουϲαν καὶ τὸ αὐτὸ ἐνύπνιον ὡρακυῖαν.
XXII Ἕρμων Θ[άϲιοϲ. τοῦτο]ν τυφλὸν ἐόντα ἰάϲατο· μετὰ δὲ τοῦτο τὰ ἴατρα οὐκ ἀ-
πάγοντ̣[α ὁ θεόϲ νιν] ἐπόηϲε τυφλὸν αὖθιϲ· ἀφικόμενον δ' αὐτὸν καὶ πάλιν
ἐγκαθε̣[ύδοντα ὑγι]ῆ κατέϲταϲε.
XXIII Ἀριϲτ̣α[γόρα Τροζ]ανία. αὕτα ἕλμιθα ἔχουϲα ἐν τᾶι κοιλίαι ἐνεκάθευδε
ἐν Τροζ[ᾶνι ἐν τῶι] τοῦ Ἀϲκλαπ̣ιοῦ τεμένει καὶ ἐνύπνιον εἶδε· ἐδόκει οὑ (*corr.* οἱ)
τοὺϲ υἱ[οὺϲ τοῦ θ]εοῦ, οὐκ ἐπιδαμοῦντοϲ αὐτοῦ, ἀλλ' ἐν Ἐπιδαύρωι ἐόντοϲ,
τὰγ κεφα[λὰν ἀπο]ταμεῖν, οὐ δυναμένουϲ δ' ἐπιθέμεν πάλιν πέμψαι τινὰ πο[ὶ]
τὸν Ἀϲκλ[απιόν, ὅ]πωϲ μόληι· μεταξὺ δὲ ἁμέρα ἐπικαταλαμβάνει καὶ ὁ ἱαρ-
ρεὺϲ ὁρῆι [ϲάφα τ]ὰν κεφαλὰν ἀφαιρημέναν ἀπὸ τοῦ ϲώματοϲ· τᾶϲ ἐφερπού-
ϲαϲ δὲ νυκτ[ὸϲ Ἀρ]ιϲταγόρα ὄψιν εἶδε· ἐδόκει οἱ ὁ θεὸϲ ἵκων ἐξ Ἐπιδαύρου
ἐ̣πιθεὶϲ τ[ὰν κε]φαλὰν ἐπὶ [τὸ]ν τράχαλον, μετὰ ταῦτα ἀνϲχίϲϲαϲ τὰγ κοιλ[ί]-
[α]ν̣ τὰν αὐτ[ᾶϲ ἐξ]ελεῖν τὰν ἕ[λμ]ιθα καὶ ϲυρράψαι πάλιν, καὶ ἐκ τούτου ὑγ[ι]-
XXIV [ὴ]ϲ ἐγένετ[ο. *vac.* ὑ]π[ὸ π]ἐ̣τραι παῖϲ Ἀριϲτόκριτοϲ Ἁλ̣ικόϲ· οὗτοϲ
ἀποκολυμ[βάϲ]αϲ εἰϲ τὰν θά̣[λαϲ]ϲ̣αν ἔπειτα δενδρύων εἰϲ τόπον ἀφίκετο
ξηρόν, κύκ[λωι] πέτραιϲ περ[ιεχό]μενον, καὶ οὐκ ἐδύνατο ἔξοδον οὐδεμί-
αν εὑρεῖν. [με]τὰ δὲ τοῦτο ὁ πατ[ὴρ α]ὐτοῦ, ὡϲ οὐθαμεὶ περιετύγχανε μαϲ-
τεύων, παρ' [Ἀ]ϲκλαπιῶι ἐν τῶι ἀ[βάτ]ωι ἐνεκάθευδε περὶ τοῦ παιδὸϲ καὶ ἐ-
νύπνιον ε̣[ἶ]δε· ἐδόκει αὐτὸν ὁ θ[εὸϲ] ἄγειν εἴϲ τινα χώραν καὶ δεῖξαί οἱ, δ̣[ι]-
ότι τουτ[ε]ὶ ἐϲτι ὁ υἱὸϲ αὐτοῦ. ἐξε̣[λθὼ]ν δ' ἐκ τοῦ ἀβάτου καὶ λ̣ατομήϲαϲ τὰ[ν]
XXV πέτραν ἀ[ν]ηῦρε τὸμ παῖδα ἑβδεμα̣[ῖο]ν. *vac.* Σωϲτράτα Φεραί[α παρ]-
εκύηϲε. α[ὕ]τα ἐμ παντὶ ἐοῦϲα φοράδ̣αν εἰϲ τὸ ἱαρὸν ἀφικομένα ἐνε[κά]-
θευδε. ὡϲ δὲ οὐθὲν ἐνύπνιον ἐναργ[ὲ]ϲ ἑώρη, πάλιν οἴκαδε ἀπεκομίζ̣[ε]-
το. μετὰ δὲ τοῦτο ϲυμβολῆϲαί τιϲ περὶ Κόρνουϲ αὐτᾶι καὶ τοῖϲ ἑ[πομέ]-

νοις ἔδοξε τὰν ὄψιν εὐπρεπὴς ἀνήρ, ὃς πυθόμενος παρ' αὐτῶν τ[ὰς δυσπρα]-
ξίας τὰς αὐτῶν ἐκελήσατο θέμεν τὰν κλίναν, ἐφ' ἇς τὰν Σωστρ[άταν ἔφε]-
ρον. ἔπειτα τὰγ κοιλίαν αὐτᾶς ἀνσχίσας ἐξαιρεῖ πλῆθος ζ[ωϋφίων πάμ]-
πολυ, [δύ]ε ποδανιπτῆρας· συνράψας δὲ τὰ[ν γ]αστέρα καὶ ποήσας ὑ[γιῆ]
τὰν γυναῖκα τάν τε παρουσίαν τὰν αὐτο[ῦ π]αρενεφάνιξε ὁ Ἀσκλαπιὸς
XXVI καὶ ἴατρα ἐκέλετο ἀπ[ο]πέμπειν εἰς Ἐπί[δα]υρ[ον]. *vac.*] κύων ἰά-
σατο παῖδα Αἰ[γιν]άταν. οὗτος φῦμα ἐν τῶ[ι τρα]χάλωι εἶχε· ἀφικόμενο[ν]
δ' αὐτὸν ποὶ τ[ὸν] θε[ὸ]ν κύων τῶν ἰαρῶν ὑ[παρ τ]ᾶι γλώσσαι ἐθεράπευσε
XXVII καὶ ὑγιῆ ἐπόη[σ]ε. *vac.* Ἀνὴρ ἐ[ντὸ]ς τᾶς κοιλίας ἕλκος ἔχων. οὗ-
τος ἐγκαθεύδων ἐν[ύπνιο]ν εἶδε· ἐδόκ[ε]ι αὐτῶι ὁ θεὸς ποιτάξαι τοῖς
ἑπομένοις ὑπηρέτα[ις συλ]λαβόντας αὐτὸν ἴσχειν, ὅπως τάμηι οὑ τὰν
κοιλίαν· αὐτὸς δὲ φεύ[γει]ν, τοὺς δὲ συλλαβόντας νιν ποιδῆσαι ποὶ ῥό-
πτον· μετὰ δὲ τοῦτο τὸν [Ἀσ]κλαπιὸν ἀνσχίσσαντα τὰγ κοιλίαν ἐκτα-
μεῖν τὸ ἕλκος καὶ συρρά[ψαι] πάλιν, καὶ λυθῆμεν ἐκ τῶν δεσμῶν· καὶ ἐ-
κ τούτου ὑγιὴς ἐξῆ[λθ]ε, τὸ δὲ δάπεδον ἐν τῶι ἀβάτωι αἵματος κατά-
XXVIII πλεον ἦς. *vac.* Κλεινάτας Θηβαῖος ὁ τοὺς φθεῖρας· οὗτος π[λῆ]-
θός τι πάμπολυ φθε[ιρ]ῶν ἐν τῶι σώματι [ἔ]χων ἀφικόμενος ἐνεκά[θευ]-
δε καὶ ὁρῆι ὄψιν. ἐδόκει αὐτόν νιν ὁ θεὸς ἐγδύσας καὶ γυμνὸν κα-
ταστάσας ὀρθὸν σάρ[ω]ι τινὶ τοὺς φθεῖρας ἀπὸ τοῦ σώματος ἀποκα-
θαίρειν· ἁμέρας δὲ γ[ε]νομένας ἐκ τοῦ ἀβάτου ὑγιὴς ἐξῆλθε. *vac.*
XXIX Ἀγέστρατος κεφαλᾶς [ἄ]λγος· οὗτος ἀγρυπνίαις συνεχόμενος διὰ
τὸμ πόνον τᾶς κεφαλᾶ[ς], ὡς ἐν τῶι ἀβάτωι ἐγένετο, καθύπνωσε καὶ ἐν[ύ]-
πνιον εἶδε· ἐδόκει αὐτὸν ὁ θεὸς ἰασάμενος τὸ τᾶς κεφαλᾶς ἄλγος ὀρ-
θὸν ἀστάσας γυμνὸν παγκρατίου προβολὰν διδάξαι· ἁμέρας δὲ γενη-
θείσας ὑγιὴς ἐξῆλθε καὶ οὐ μετὰ πολὺγ χρόνον τὰ Νέμεα ἐνίκασε
XXX παγκράτιον. *vac.* Γοργίας Ἡρακλειώτας πύος. οὗτος ἐμ μάχαι
τινὶ τρωθεὶς εἰς τὸμ πλεύμονα τοξε[ύ]μ[α]τι ἐνιαυτὸγ καὶ ἑξάμηνον
ἔμπυος ἦς οὕτω σφοδρῶς, ὥστε ἑπτὰ καὶ ἑξήκοντα λεκάνας ἐνέπλησε
πύους· ὡς δ' ἐνεκάθευδε, ὄψιν εἶδε· ἐδόκει οἱ ὁ θεὸς τὰν ἀκίδα ἐξε-
λεῖν ἐκ τοῦ πλεύμονος· ἁμέρας δὲ γενομένας ὑγιὴς ἐξῆλθε τὰν ἀκί-
XXXI δα ἐν ταῖς χερσὶ φέρων. *vac.* Ἀνδρομάχα ἐξ Ἀπείρο[υ] περὶ παί-
δων. αὕτα ἐγκαθεύδουσα ἐνύπνιον εἶδε· ἐδόκει αὐτᾶι π[α]ῖς τις ὡραῖ-
ος ἀγκαλύψαι, μετὰ δὲ τοῦτο τὸν θεὸν ἅψασθαί οὑ τᾶι [χη]ρί· ἐκ δὲ τού-
του τᾶι Ἀνδρομάχαι υ[ἱ]ὸς ἐξ Ἀρύββα ἐγένετο. Ἀ[...κ]ράτης Κνίδι-
XXXII ος ὀφθαλμούς. οὗτος ἔν τινι μάχαι ὑπὸ δό[ρα]τος πλα[γεὶ]ς δι' ἀμφοτέ-
ρων τῶν ὀφθαλμῶν τυφλὸς ἐγένετο καὶ τὰν λόγχαν [παρ]οῦσαν ἐν τῶι
προσώπωι περιέφερε· ἐγκαθεύδων [δ]ὲ ὄψιν εἶδε· ἐδ[όκε]ι οὑ(!) τὸν θεὸν
ἐξελκύσαντα τὸ βέλος εἰς τὰ β[λέ]φαρα τὰς καλουμ[έν]ας κόρας πά-
λιν ἐναρμόξαι. ἁμέρας δὲ γενομένας ὑγιὴς ἐξῆλθ[ε].
XXXIII [Θ]έρσανδρος Ἁλικὸς φθίσιν. οὗτος, ὡς ἐγκαθεύδων [οὐ]δεμίαν ὄψιν
[ἑ]ώρη, ἐφ' ἁμάξας [ἄμπαλ]ιν ἀπεκομίζετο εἰς Ἁλιεῖς, δράκων δέ τις
[τ]ῶν ἱαρῶν ἐπὶ τ[ᾶς ἁμ]άξας καθιδρυμένος ἦς, τὸ πο[λ]ὺ τᾶς ὁδοῦ περιη-
[λι]γμένος περ[ὶ τ]ὸν ἄξονα διετέλεσε. μολόντων δ' [α]ὐ[τ]ῶν εἰς Ἁλιεῖς
[κα]ὶ τοῦ Θερσ[ά]νδρου κατακλιθέντος οἴ[κο]ι, ὁ δράκων ἀπὸ τᾶς ἁμά-
[ξα]ς καταβὰ[ς τ]ὸν Θέρσανδρον ἰάσατο. [τᾶς δ]ὲ πόλιος τῶν Ἁλικῶν
[ἀγγε]λ[λ]ούσας τὸ γεγενημένον καὶ διαπορ[ουμένας] περὶ τοῦ ὄφι-
[ος, πό]τερον εἰς Ἐπίδαυρον ἀποκομίζωντι [ἢ αὐτὸν κα]τὰ χώραν ἐῶν-
[τι, ἔ]δοξε τᾶι πόλι εἰς Δελφοὺς ἀποστεῖλα[ι χρησομέ]νους, πότερα
[π]οιῶντι· ὁ δὲ θεὸς ἔχρησε τὸν ὄφιν ἐῆν αὐ[τεῖ καὶ ἱ]δρυσαμένου[ς]
[Ἀ]σκλαπιοῦ τέμενος καὶ εἰκόνα αὐτοῦ πο[ιησαμέ]νους ἀνθέμεν [εἰς]
τὸ ἱαρόν. ἀγγελθέντος δὲ τοῦ χρησ[μοῦ, ἁ πόλι]ς ἁ τῶν Ἁλικῶν
ἱδρύσατο τέμενος Ἀσκλαπιοῦ [αὐτεῖ καὶ τὰ ὑπὸ το]ῦ θεοῦ μαντ[ευ]-
XXXIV σθέντα ἐπετέλεσε. - - - νία ὑπὲρ τέ-
κνων. αὕτα ἐγκαθεύδου[σα] ἐν[ύπνιον εἶδε· ἐδόκει ο]ἱ φᾶσαι ὁ [θεὸς]
ἐσσεῖσθαι γενεὰγ καὶ ἐ[π]ερ[ωτᾶσαι εἰ ἐπιθυμέοι ἄρσενα ἢ θηλυ]-
τέραν, αὐτὰ δὲ φάμεν ἐπι[θυμεῖν ἄρσενα· μετὰ δὲ τοῦτο ἐντὸς ἐνι]-

αὐτοῦ ἐγένετο αὐτᾶι υἱ[ός]. *vac.* - - - -
XXXV Ἐπιδαύριος χωλός. οὗτος [χωλὸς ἐὼν φοράδαν εἰς τὸ ἱαρὸν ἀφίκετο]·
ἐγκαθεύδων δὲ ὄψιν εἶδε· [ἐδόκει οἱ ὁ θεὸς - - - - - - - -]
ποιτάσσειν αὐτῶι κλίμα[κα ποιφέρειν ....⁹.... καὶ ἀναβᾶναι ἐ]-
πὶ τὸν ναόν· αὐτὸς δὲ τὸ με- - - - - - - - - - - - -
...αλεν καὶ ἄνω ἐπὶ τοῦ θ[ριγκοῦ - - - - - - - - - - -]
[κ]αὶ τὰγ κλίμακα μικρὸν κα[τέβα - - - - - - - - - - - - -]
πρᾶτον ἀγανακτῶν τ[ᾶ]ι πρά[ξι - - - - - - - - - - - - χω]-
λῶι ἐόντι· ἀποτολμ[ᾶι] δὲ ἀμ[έρας γενομένας καὶ ἐκ τούτου ὑγιὴς ἐ]-
XXXVI ξῆλθε. *vac.* Καφισί[ας - - - - - - - - - τοῖς Ἀσ]-
κλαπιοῦ θεραπεύμασιν ἐπ[ιγελ - - - - - - - - - - οὐ φεί]-
δεται λέγων ὡς, εἴ δύναμιν ἔ[χοι, - - - - - - - - - -]
τᾶς ὕβριος ποινὰς λαμβάνω[ν - - - - - - - - - - -]
τοῦ Βουκεφάλα ἐν τᾶι ἕδραι [καθίζοντά νιν καταπατοῦντος τρωθῆ]-
μεν τὸμ πόδα παραχρῆμα καὶ [ἔτι δεινοτέρως(?) διακεῖσθαι ἢ τὸ πρίν]·
ὕ[σ]τερον δὲ πολλὰ καθικετεύ[σας τὸν θεὸν ὑγιὴς ἐγένετο]. *vac.*
XXXVII Κλειμένης Ἀργεῖος ἀκρατὴς [τοῦ σώματος· οὗτος ἐλθὼν εἰς τὸ ἄβα]-
τον ἐνεκάθευδε καὶ ὄψιν εἶδ[ε· ἐδόκει οἱ ὁ θεὸς μέγαν δράκοντα πε]-
ριελίξαι περὶ τὸ σῶμα καὶ μικ[ρὸν - - - - - c. 20 - - - - - ἄγειν]
νιν ἐπί τινα λίμναν, ἃς τὸ ὕδωρ [ἐκελήσατό νιν πιεῖν - - - c. 12 - -]
δ' αὐτοῦ ἔθεν διακειμένου τὸν α[- - - - - c. 24 - - - - - πολ]-
λοὺς τῶν ἀνθρώπων εἰς ταῦτα φά[μεν? - - - - - - - - - - ἀ]-
φικνῶνται εἰς τὸ τέμενος ἐόντ - - - - - - c. 27 - - - - - -
τοιοῦτον ποιησοῖ, ἀλλ' ὑγιῆ ἀποπ[εμψοῖ. ἀμέρας δὲ γενομένας ἀσ]-
XXXVIII κηθὴς ἐξῆλθε. *vac.* Δίαιτος Κυρ[ι̣ος(?)· οὗτος ἀκρατὴς ἐὼν ἐτύγχα]-
νε τῶγ γονάτων· ἐγκαθεύδων δὲ ἐνύ[πνιον εἶδε· ἐδόκει οἱ ὁ θεὸς]
τοὺς ὑπηρέτας κέλεσθαι ἀειραμέν̣[ους νιν ἐξενεγκεῖν ἐκ τοῦ ἀ]-
δύτου καὶ καταθέμεν πρὸ τοῦ ναοῦ· ἐ[πεὶ δὲ αὐτὸν οὗτοι ἔξω ἤνεγ]-
καν, ἅρμα ζεύξαντα τὸν θεὸν ἵππων πε[ριελαύνειν τρὶς περί νιν κύ]-
κλωι καὶ καταπατεῖν (ν)ιν τοῖς ἵπποις, [καί οὑ τὰ γόνατα ἰσχυρὰ γε]-
XXXIX νέσθαι εὐθύς· ἀμέρας δὲ γενομένας ὑγ[ιὴς ἐξῆλθε. *vac.* - - -]
δα ἐκ Κέου. αὕτα περὶ παίδων ἐγκαθεύδ[ουσα ἐνύπνιον εἶδε· ἐδό]-
κει οἱ ἐν τῶι ὕπνωι δράκων ἐπὶ τᾶς γαστ[ρὸς κεῖσθαι· καὶ ἐκ τούτου]
XL παῖδές οἱ ἐγένοντο πέντε. *vac.* Τίμω[ν ....⁸.... λόγχαι τρω]-
θεὶς ὑπὸ τὸν ὀφθαλμόν· οὗτος ἐγκαθεύδ[ων ἐνύπνιον εἶδε· ἐδό]-
κει οἱ ὁ θεὸς ποίαν τρίψας ἐγχεῖν εἰς τ[ὸν ὀφθαλμόν τι· καὶ ὑγι]-
XLI ὴς ἐγένετο. *vac.* Ἐρασίππα ἐκ Καφυιᾶν ι [- - - αὕτα - -]
εἶχε τὰγ γαστέρα καὶ ἐπέπρητο ὅλα καὶ ο[- - - c. 13 - - - ἐγκα]-
θεύδουσα δὲ ἐνύπνιον εἶδε· ἐδόκει οἱ ὁ θεὸ[ς τὰγ γαστέρα ἀντρί]-
βων φιλᾶσαί νιν, μετὰ δὲ τοῦτο φιάλαν οἱ δό[μεν, ἐν ἇι φάρμακον],
καὶ κέλεσθαι ἐκπιεῖν, ἔπειτα ἐμεῖν κέλεσ[θαί νιν, ἐξεμέσασας]
δὲ ἐμπλᾶσαι τὸ λώπιον τὸ αὐτᾶς· ἀμέρας δὲ γ[ενομένας ἑώρη πᾶν]
τὸ λώπιον μεστὸν ὧν ἐξήμεσε κακῶν, καὶ ἐκ το[ύτου ὑγιὴς ἐγένε]-
XLII το. *vac.* Νικασιβούλα Μεσσανία περὶ παίδω[ν ἐγκαθεύδουσα]
ἐνύπνιον εἶδε· ἐδόκει οἱ ὁ θεὸς δράκοντα μεθ̣ - - - - - -
φέρων παρ' αὐτάν, τούτωι δὲ συγγενέσθαι αὐτά· [καὶ ἐκ τούτου]
XLIII παῖδές οἱ ἐγένοντο εἰς ἐνιαυτὸν ἔρσενες δύ[ε. *vac.* - - - - -]
Κιανὸς ποδάγραν. τούτου ὕπαρ χὰν ποτιπορευο[μένου δάκνων]
αὐτοῦ τοὺς πόδας καὶ ἐξαιμάσσων ὑγιῆ ἐπόη[σε].

XXIII Rem narravit fere Hippys ap. Ael. nat. an. IX 33 τὸ ἀβρότονον ὅσα ἀγαθὰ δρᾷ, ... ζῴῳ οὖν πονηρῷ πολέμιόν ἐστι, καὶ ἀναιρεῖ τὴν ἕλμινθα, ἥπερ οὖν ἐπὶ πλέον ἰοῦσα καὶ αὐξανομένη θηρίον γίνεται, σπλάγχνοις μὲν ἐντικτόμενον, ἀνθρωπείαις δὲ νόσοις ἐναριθμούμενον, καὶ ταῦτα ταῖς ἄγαν ἀνιάτοις τε καὶ ὑπὸ [χειρὸς] θνητῆς δυνάμεως εἰς ἄκεσιν ἥκειν ἀδυνάτοις· τεκμηριῶσαι τοῦτο καὶ Ἵππυς ἱκανός. ὃ δὲ λέγει ὁ συγγραφεὺς ὁ Ῥηγῖνος (FHG II 15, 8) ἱκανός, τοιόνδε ἐστίν· 'γυνὴ εἶχεν ἕλμινθα, καὶ ἰάσασθαι αὐτὴν ἀπεῖπον οἱ τῶν ἰατρῶν δεινοί· οὐκοῦν εἰς Ἐπίδαυρον ἦλθεν, καὶ ἐδεῖτο τῶν θεῶν ἐξάντης γενέσθαι τοῦ συνοίκου πάθους. οὐ παρῆν ὁ θεός· οἱ μέντοι ζάκοροι κατακλίνουσι τὴν ἄνθρωπον

ἔνθα ἰᾶσθαι ὁ θεὸς εἰώθει τοὺς δεομένους· καὶ ἡ μὲν ἄνθρωπος ἡσυχάζει προσταχθεῖσα, [καὶ] οἵ γε μὴν ὑποδρῶντες τῷ θεῷ τὰ ἐς τὴν ἴασιν αὐτῇ ἐποίουν· καὶ τὴν κεφαλὴν μὲν ἀπὸ τῆς δέρης ἀφαιροῦσι, καθίησι δὲ τὴν χεῖρα ὁ ἕτερος καὶ ἐξαιρεῖ τὴν ἕλμινθα, θηρίου μέγα τι χρῆμα· συναρμόσαι δὲ καὶ ἀποδοῦναι τὴν κεφαλὴν ἐς τὴν ἀρχαίαν ἁρμονίαν οὐκ ἐδύνατο οὐκέτι. ὁ τοίνυν θεὸς ἀφικνεῖται καὶ τοῖς μὲν ἐχαλέπηνεν, ὅτι ἄρα ἐπέθεντο ἔργῳ δυνατωτέρῳ τῆς ἑαυτῶν σοφίας, αὐτὸς δὲ ἀμάχῳ τινὶ καὶ θείᾳ δυνάμει ἀπέδωκε τῷ σκήνει τὴν κεφαλήν, καὶ τὴν ξένην ἀνέστησεν'. καὶ οὔτι πω, ὦ βασιλεῦ καὶ θεῶν φιλανθρωπότατε Ἀσκληπιέ, ἁβρότονον ἔγωγε ἀντικρίνω τῇ σοφίᾳ τῇ σῇ· μὴ μανείην ἐς τοσοῦτον· ἀλλὰ ἐπελθὼν ἐμνήσθην εὐεργεσίας τε σῆς καὶ ἰάσεως ἐκπληκτικῆς· ὡς δὲ καὶ ἥδε ἡ πόα σὸν δῶρόν ἐστιν οὐδὲ ἀμφιβάλλειν χρή. F. Jacoby *Realenc.*[2] VIII 1928 Hippyis Χρονικὰ Timaei libro recentiora esse i. e. non ante tertii a. Chr. saeculi initium scripta censuit, cui aetati iam v. Wilamowitz *Herm.* XIX 1884, 442. 448 attribuerat. Hippyis narratione si lapidis haec Epidauria simplicior et magis genuina est (ita Wilamowitz et contra Zacherum *Herm.* XXI 468 al. Jacoby), potest sane ab eo auctore, qui historiolam Epidauri excepit, decurtata et redacta esse.

XXIV v. XXXIII 20 δενδρύων ut δενδρυάζων. cf. Et. M. 256_4 σημαίνει (δενδρυάζειν) καὶ τὸ καθ' ὕδατος δύεσθαι καὶ κρύπτειν ἑαυτόν.

XXV 26/7 παρ]|εκύησε Fr. ut vocabulo scilicet novo, gravitatem falso creditam, de qua hic agitur, indicaret. 29 Κόρνους· n. 71_{13}. 32 Τ - -$^{c. 8}$- -· | ζ[ύμας πάμ]|πολυ i. e. *fermenti* Fr., τ[εκνιδίων] | πολύ(?) Blink. Wilamowitzii supplementum recepi. 33 δύ]ẹ Bl. *Mirakl.* 111; postea idem v. d. partem litterae E certo dispexit, formam Corinthi redire monens.

XXVII 44 ἐξῆ[λθ]ε· Η testatur Bl.

XXXI 60—76 partem suppeditavit fragmentum novum. 60 Andromacha et Arybbas regiae Molossorum gentis sunt Klotzsch *Epirot. Gesch.* 229. 61 [τὰν νηδὺν ὁ θε]|ός Fr.; Γ̣ Λ̣ Bl.

XXXII 63 Α. . . . ΡΑΤΗΣ certum. 66 ἐδόκει οὐ lapis, sicut v. 66; exspectamus οἱ.

XXXIII Novis fragmentis inventis sanavit Kabb. 69 Ἁλικός (cf. XXIV). Stelam ipsam viderit Paus. II 36, 1 ἡ δὲ Ἁλικὴ τὰ μὲν ἐφ' ἡμῶν ἐστιν ἔρημος, ᾠκεῖτο δὲ καὶ αὕτη ποτέ, καὶ Ἁλικῶν λόγος ἐν στήλαις ἐστὶ ταῖς Ἐπιδαυρίων αἳ τοῦ Ἀσκληπιοῦ τὰ ἰάματα ἐγγεγραμμένω ἔχουσιν. Cf. Dittenberger *Herm.* XLII 3. 76 suppl. Wil. 91 [ἐπί]λλεν Fr. 99 Ad ἄκραν Βουκέφαλα inter Scyllaeum promunturium et Hermionem sitam rettulit Fr., de equo iure cogitavit We. 105 λίμναν· cf. λι- n. 92_5?

XXXVIII 110 ΚΥΡΙ An Κυρρ̣[έστας]? 115 ΕΙΝΙΝ 117 ἐκ Κεοῦ· Arizelus apud Lysimachum Alexandrinum schol. Soph. Oed. C. 91 Oedipodis corpus εἴς τινα τόπον τῆς Βοιωτίας καλούμενον Κεόν translatum esse narravit; ipse Lysimachus ibidem Eteoni sepultum, μεταγαγόντων αὐτὸν ἐκ Κεοῦ τινος ἀσημάντου χωρίου ex eodem fonte dixit. Cf. Robert *Oidipus* II 1. 2. At nescimus hoc unquam sui iuris fuisse, ut ethnici loco Epidauri nominari posset. Ad Ceam (ἡ Κέως) insulam redit Wil.; alia Κέος prope Salaminis Cynosuram est Hdt. VIII 76. 118 κεῖσθαι Wil. 119 Τίμω[ν . . . .^{8}. . . . s. Τιμω]νίδας . . . . (hoc We.); supplendum est ethnicum.

XLIII 134 Κιανός· Ditt., Wilh.

---

123 STELA TERTIA. Litterae στοιχηδὸν dispositae (c. 50—54), sed secundum syllabas divisae; iota interdum cum alia littera singulum spatium obtinet. Saec. IV partis alterius (Kabbadias). Partem ed. Kabbadias *Mélanges Perrot* 1903, 41; omnia quae enucleare poterat idem Ἐφ. 1918, 158 sqq., 7 et p. 160/1 εἰκ. 7. 8. Cf. Salač *Listy Fil.* XLIX 100 et *Mélanges Groh* Pragae 1923, 131 (Hondius *SE* II 58 cum Wilhelmi notis); Blinkenberg *Danske studier* 1928, 108. 109[3] cum Drachmanni notis (§ XLVI). *Ect.*

XLIV κόρα ἄφωνος· α[ὔτ]α [ἐγκαθεύδουσα ὡς εἶδε ἐρχόμενον δρ]άκο[ν]τα ἀπὸ δενδρέου τινὸς τῶν κατὰ τὸ ἄ[βατον(?) ἐόντων, ἐξεγερθεῖσα ε]ὐθὺς βοῆι, τὰμ ματέρα καὶ τὸμ πατέρα κα[λ]έ[ουσα, ἀπῆλ]θε [δὲ ὑγιής]. *vac.*

XLV Μέλισσα ὑπὸ ἔχιος φῦμα· α[ὔ]τα ἐν [τᾶι χειρὶ φ]ῦμα ἔ[χουσ]α ἀφίκετο· *v v* τῶν δὲ θεραπόντων ἔκτοτ' ὀ[ρε]ό[ντων ἔτι συνεληλυθυ̣ί̣ας] τᾶι γυναικὶ ἔχις ἐν τῶι φορτίωι [κλίναν ἄιτησε· ἥκουσα δ' εἰς Μαν]τ[ί]ν[ει]αν ὡς εἰς αὐτὰν κατεκλίθη ἁ Μέλ[ισ]σ[α, ταὶ ἔχιες ἔλειξαν] τὸ ἐν τᾶι χειρὶ φῦμα, καὶ ἐκ τούτων ὑγιὴς ἐγένετο. *vac.*

XLVI Καλλικ[ρ]άτεια θησαυρόν. αὔτα τελευτάσ[αντό]ς οἱ τοῦ ἀ[ν]δ[ρό]ς, αἰσθημένα δὲ οὐ κεκ[εύθ]ει τῶι ἀνδρὶ χρυσίον [κατορωρυγ]μένον ἐπ[ε]ὶ οὐκ ἐδύνατο μαστεύου[σα] εὑ[ρ]εῖν, ἀφίκετο εἰς τὸ ἱερὸν ὑπὲρ τοῦ θησαυροῦ καὶ [ἐγκαθ]εύ[δουσ]α ὄψιν εἶδε· ἐδόκε[ι αὐτ]ᾶι ὁ θεὸς [ἐπ]ιστὰ[ς] εἰπεῖν Θα[ργηλιῶν]ο[ς μην]ὸς ἐμ μεσαμβρίαι ἐ[ν]τὸ[ς] λέοντος κε[ῖσθαι] τὸ χρυσί[ον. ἁμέρα]ς [δὲ γε]νο[μ]ένας ἐξῆλθε καὶ οἴκαδε ἀ[φικ]ομ[έν]α τὸ μὲν πρᾶτ[ον τὰγ κεφαλ]ὰ[ν] το[ῦ] λέοντος [τ]οῦ λι[θ]ίνο[υ] ἐμάστε[υε· ἧ]ς δὲ πλατίο[ν τᾶς οἰκίας σ]ᾶμα ἐπίθεμα ἔχον λίθινον λέοντα. ἐπε[ὶ δ'] οὐχ ηὕρισκε, [φαμέν]ο[υ δὲ] αὐτᾶι μάντιος δ[ιό]τι οὐ λέ[γ]οι ὁ θεὸς ἐν [τ]ᾶι λιθίναι [κεφαλᾶ]ι [τὸν θ]η-

[ϲ]αυρὸν ε[ἶ]μεν, ἀλλ' ἐν [τ]ᾶι ϲκιᾶι τᾶι γινομέναι ἀπὸ [τοῦ λέ]οντ[οϲ] ἐν τῶ[ι]
Θαργηλιῶνι μηνὶ περὶ μέϲϲον ἀμέραϲ, μετὰ δὲ τοῦτο [πο]ιουμένα [ἔρευ]-
[ν]αν [ἄ]λλαν τοῦ χρυϲίου τὸ[ν τ]ρόπον τοῦτον ἀνηῦρε τὸν θηϲαυρὸν [κ]α[ὶ]
XLVII [ἔ]θυϲε τῶι θεῶι τὰ νομι[ζ]όμενα. *vac.* - - - - - - - ἰχθυοφό-
[ροϲ Ἀμφί]μν[αϲ]τοϲ· οὗτο[ϲ ἰ]χθυοφορῶν εἰϲ Ἀρκαδίαν, εὐξάμενοϲ τὰν
[δεκάταν δωϲεῖ]ν τῶι Ἀϲκλ[απ]ιῶι τᾶϲ ἐμπολᾶϲ τῶν ἰχθύων, οὐκ ἐπ[ετ]έ-
[λει τὰν εὐχάν· πωλέο]ντ[ι δὲ τὸν ἰχ]θὺν ἐν Τεγέαι ἐξαπίναϲ [κωνώπια]
[πάντοθεν ἐπιφα]νέντα [οἳ] ἐ[τίτρω]ϲκον τὸ ⟦τὸ⟧ ϲῶμα· ὄχλου δὲ πολλοῦ π[ε]ρι-
[ϲτά]ντοϲ ε[ἰϲ] τὰν θεωρίαν, ὁ Ἀμφίμναϲτοϲ δηλοῖ τὰν ἐξαπάταν ἅπαϲα[ν]
[τὰν .....¹¹.....] πρό[ϲθε γενο]μέναν· ἐξικετεύϲαντοϲ δ' αὐτοῦ τὸν
[θεὸν οὗτοϲ αὐτῶ͜ι πολλοὺϲ] ἰχθύ[α]ϲ ἔφανεν καὶ ὁ Ἀμφίμναϲτοϲ ἀνέθηκε
XLVIII [τὰν δεκάταν τῶι] Ἀϲκλαπιῶι. *vac.* Ἐρατοκλῆϲ Τροζάνιοϲ ἔμπυ-
[οϲ· τούτωι] ἐν Τροζᾶνι μέλλοντι ὑπὸ τῶν ἰατρῶν ἰά⟦..⟧ϲθαι καθεύδον-
[τι ὁ θεὸϲ πρὶν ἢ γενέϲθαι] καῦ[ϲ]ιν ἐκέλετο μήπω ἰ[ᾶ]ϲ[θ]α[ι, ἐγ]καθεύδειν
[δὲ ἐν τῶι͜ ἱερῶι τῶν Ἐπιδαυρί]ων· τοῦ δὲ χρό[ν]ου π[α]ρ[ελθ]ό[ντ]οϲ, ὃμ ποτέ[μει]-
XLVIII [νε - - - - - - - - - - - - - - - - - - Ἐ]πιδαυρία ὑδρω-
[πα· αὕτα - - - - - - - - - - - - - - - - - - -]α τὸν ϲύμβολον
[- π]όμα τί λαμβ[ά]-
[ν -]ου τῶι - -³⁻⁵- -
- παρθ - -⁴⁻⁶- -
- εν.ϲ - -⁻⁸- -

39—43 deleti.

- τοϲ ....
- φιάλα ...
[- ἐκ τοῦ] ἀβάτου ἐ-
§ [ξῆλθε. -]ον ἄ[φων]οϲ
- ὁ δὲ θεὸϲ
[- ἐφθέ]γξατο κα[ὶ]
§ [ὑγιὴϲ ἐγένετο - - - - - - - - - - - - - - - -] ὑποφ[θ]ά[ϲ.]
[- τ]ῶι ἱαρῶ[ι]
- -ε ἀγγελ...
- ἀντ' αὐτ..
- -ημα ε....
- -α..μεν..
- θεὸϲ ε[.]
- -αλα...α[.]
[- κ]ατὰ [τ]ὸ ϲτ[ῆ]-
[θοϲ? - - - - - - - - - - - - - - - - - - ἐγ]καθεύδο[ν]-
[τοϲ δ' αὐτοῦ - - - - - - - - - - - - - - - -] ἀλατίω[ι]
- δὲ αὐτ..
[- ἀ]πὸ ποταμο[ῦ]
- εἰϲ τὸ ἱα-
[ρὸν - - - - - - - - - - - - - - ἀνίϲχοντοϲ?] τοῦ ἁλίου
§ [- - - - - - - - - - - - - - - - - ἐγκαθεύδον]τοϲ δ' αὐ[τοῦ]
- τῶν Ἀργε[ίων]
[- ὡ]μολόγη[ϲε]
[- δρ]αχμὰν το[ῖϲ]
[θεράπουϲι - - - - - - - - - - - - - - - - -]ιου λαμ[βα]-
[ν -]ελέϲθ[αι]
[- - - - - - - - - - - - - - - - - - - ἀφί]κετο εἰϲ τὸ [ἱ]-
[αρὸν - - - - - - - - - - - - - - - - - -] ἀπεδίδου αὐτῶι
- γόνοιϲ οὐκ ἐδί-
[δου - - - - - - - - - - - - - - - - - - - τ]ὸ ξύλον εἰϲ χρ[.]-
[- - - - - - - - - - - - - - - - - - - τοῦ] θεοῦ ὅλαν τὰν
[- - - - - - - - - - - - - - - - - - - ἀ]νέθηκε τῶι θεῶι

§ [- - - - - - - - - - - - - - - - - ἀφικομέν]ου εἰς Ἐπίδαυ-
[ρον - - - - - - - - - - - - - - - κατὰ και]ρὸν χειμῶνος
- - - - - - - - - - - - - - - - - - τὸν θεὸν δὲ ἀφι-
[- -]αυ....7....
- - - - - - - - - - - - - - - - - - - -το τοῦ πλοίου
- - - - - - - - - - - - - - - - - - - -ον δὲ [ἐκ]πλέον-
[τα - - - - - - - - - - - - - - - - -] νιν καὶ [ἀν]έ[μ]ωι
§ [- - - - - - - - - - - - - - ὁ δεῖνα] Ἀ[κρα]τὴς τοῦ σ[ώ]μ[α]-
[τος - - - - - - - - - - - - - - ἐνύπν]ιον [εἶ]δε· ἐδό-
[κει - - - - - - - - - - - - - - - - - ὁ] θεὸς ποὶ τὰν
- - - - - - - - - - - - - - - - - - - -πῦρ· ἁλίου [δὲ]
[ἀνίσχοντος - - - - - - - - - - - - - - -] ὑγιὴς ἐγένε-
§ [το. - - - - - - - - - - - - - ἀκο]ντ[ι]σμένος
- - - - - - - - - - - - - - - - - - - ἁ λόγχα με-
- - - - - - - - - - - - - - - - - - - ὡμολόγησε
- - - - - - - - - - - - - - - - - - - του ἀφικο-
[μένου - - - - - - - - - - - - - - - -] εἰσῆλθε κα[ὶ]
[- - - - - - - - - - - - - - - - - - ἁμέ]ρας ὁ δράκων
§ - - - - - - - - - - - - - - - - - - π]α[ῖ]ς Ἐμπεδο-
- - - - - - - - - - - - - - - - - - -ενης αὐτῶι .λο-
- - - - - - - - - - - - - - - - - - - λαν δὴ φορῶν πεν-
[- - - - - - - - - - - - - - - - - - αὐ]τὸν ὁ θεὸς κε-
[λεύει - - - - - - - - - - - - - - - - ἐ]ν τᾶι καλουμέ-
[ναι - - - - - - - - - - - - - - - τὰ ποι]ταχθέντα ὑ[πὸ]
§ [τοῦ θεοῦ ἐπιτελέσας ὑγιὴς ἐγένετο. - - -] Ἀναξαγόρα
- - - - - - - - - - - - - - - - - - - αντος τοῦ Λάκω-
[νος - - - - - - - - - - - - - - - - -] πριάμενος ἰα-
[τήρια (?) -]κα...ν
[- κ]ρεανομ...
- - - - - - - - - - - - - - - - - - ἀπεδώρησε πρότε-
[ρον - - - - - - - - - - - - - -] ἀ[φ]ήλετο τὸ τριώβο-
[λον - - - - - - - - - - - - - -δένδ]ρον (?) [ἀ]νέθαλε. *vac.*
§ [- - - - - - - - - οὗτος ἀφικόμενος ἐς] τὸ ἱαρὸν ὡς οὐκ ἐ-
[νύπνιον ἐναργὲς ἑώρη, ...26..........] ἄξο[ν]α.... τὸν ἐν τῶι
§ -ου ἀπῆλθε οἴκαδε. ἐ-
[- - - - - - - - - - - - - - - - - ἐγ]χειριδίωι διεχρῆτο αὐ-
[τὸν - - - - - - - - - - - - - - - ἀγ]καλίζεταί νιν ἁ θυγάτηρ
[- - - - - - - - - - - - - - ἐκρυέν]τος δὲ τοῦ αἵματος ἐκ τοῦ
§ [- - - - - - - - - - - - - Ἀρ]γεῖος ἐπίλαμπτος· οὗτος ἐγ-
[κοιμαθεὶς ὄψιν εἶδε· ἐδόκει παραστὰς] ὁ θεὸς τῶι δακτυλίωι πιέξαι
§ [τὸν ὀφθαλμόν (?), καὶ ἐκ τούτου ὑγιὴς ἐγ]ένετο. *v* Ἡράκλειτος Χῖος· οὗ-
[τος ....27.......... δ]ιαπλέων ἐκ Πειραέος εἰς
[Λευκάδα εἰς τὸ ἱαρὸν ἀφικόμενος ἐν]εκάθευδε καὶ ὄψιν εἶδε· ἐδό-
[κει οἱ - - - - - - - - - φάμ]εν ὅτι οὗτος εἴη ὁ πρεσβύτας
- - - - - - - - - - - - - - - - - - - ὅτι αἴ κ' ἔλθηι εἰς Λευ-
[κάδα ....17........] τὸ χρυσίον· ἀφικόμενος δὲ εἰς Λευκάδ[α]
§ [........19........ π]αρὼν ἐκομίσατο ἅπαν. *v* Δαμοσθένης
........19........ Κ[η]λέων· οὗτος ἀφίκετο εἰς τὸ ἱαρὸν ἐπὶ
[κλίνας καὶ ἐπὶ βακτηρίας] ἀπερειδόμενος περιεπορεύετο· ἐγκοι-
[μαθεὶς δὲ ὄψιν εἶδε]· ἐδόκει οἱ ὁ θεὸς ποιτάξαι τετράμηνον ἐν τῶι
[ἱαρῶι παραμένειν, ὅ]τι ἐν τῶι χρόνωι τούτωι ὑγιὴς ἐσσοῖτο· μετὰ
[τοῦτο ἐντὸς τετρ]αμήνου ἐν ταῖς τελευταίαις ἁμέραις εἰσελθὼν
§ [εἰς τὸ ἄβατ]ον μετὰ δύο βακτηριᾶν ὑγιὴς ἐξῆλθε. *vac.* Ἀνὴρ τυφλός·
[οὗτος ἐν τῶι] βαλανείωι τὰλ λάκυθον ἀπέβαλε· ἐγκοιμιζομένωι δὲ
[ἐδόκει οἱ φάμεν] ὁ θεὸς ἐν τᾶι κλισίαι τᾶι μεγάλαι μαστεύειν τὰν
[λάκυθον, ἐπὶ δεξι]ὰ εἰσπορευομένωι. ἁμέρας δὲ γενομένας ἆγέ νιν
[ὁ θεράπων ποὶ] μάστευσιν· εἰσπορευθεὶς δὲ εἰς τὰν κλισίαν εἶδε
§ [τὰλ λάκυθον ἐ]ξαπίνας καὶ ἐκ τούτου ὑγιὴς ἐγέ[νετο]. *vac.* Πα[μ]φάης
[Ἐπι]δαύριος φαγέδαιναν ἔνδος τοῦ στόματος ἔ[χων. οὗτ]ο[ς ἐγκ]οι-
[μαθε]ὶ[ς] ὄ[ψ]ιν εἶδε· ἐδόκει οἱ ὁ θεὸς διοίξας τὸ στ[όμα τᾶι χηρὶ τὸ ἕλ]-
[κος] ἀ[φε]λεῖν καὶ ἐκκαθᾶραι τὸ στόμα, καὶ ἐκ τού[του ὑγιὴς ἐγένετο].

Vss. 49/50. 120. 125 suppl. Klaff.

XLIV. XLV nonnulla suppl. Hi. XLVI Restituit pleraque Blinkenberg, aliqua Drachmann iunior; 9 Wil. et Klaffenbach.

XLVII 21. 22 ἰχθυοφορῶν εἰς Ἀρκαδίαν· cf. Preger epigr. 144 (Simonidis cuius non est fr. 110 Diehl) ap. Aristot. rhet. 1365a (et 1367b): ὅθεν καὶ τὸ ἐπίγραμμα τῷ ὀλυμπιονίκῃ· ʻπρόσθε μὲν ἀμφ' ὤμοισιν ἔχων τραχεῖαν ἄσιλλαν | ἰχθῦς ἐξ Ἄργους ἐς Τεγέαν ἔφερον'). 23. 29 δεκάταν Wilh. 24 ἰχ]θῦν id quod postulatur suppleri posse propter vestigia quaedam negat Kabb. Lego ΙΙΘΥΝ || 24 extr. suppl. Wil. 25 ἀν]ε[πέθρω]σκον τὸ [[τὸ]] σῶμα Wilh.; [οἱ] ἐ[τίτρω]σκον potius quam ἐ[βίβρ]ωσκον Hi. 28 οὗτος suppl. Wil. 30 contra Trozenios cf. caput XXIII. ἰά[σα]σθαι Kabb.; ἰα[θή(σε)]σθαι Klaff. sumpto quadratarii errore. 30. 31 ἰᾶσθαι hic modo passivum videtur. 34 τὸν σύμβολον i. e. praesagium. Xen. apol. Socr. 13 οἱ μὲν οἰωνούς τε καὶ φήμας καὶ συμβόλους τε καὶ μάντεις ὀνομάζουσι τοὺς προσημαίνοντας εἶναι, ἐγὼ δὲ τοῦτο δαιμόνιον καλῶ. 47 ἄ[φων]ος propter 49 ἐφθέ]γξατο, cf. XLIV_1. 62 cf. Hdt. III 23 ἐπὶ κρήνην ἀπ' ἧς λουόμενοι λιπαρώτεροι ἐγίνοντο. ἱπ]ποπόταμο[ς Kabb. 69 [θεράπουσι] e versu XVII_{114} suppl. 102 nolo Λακω[νικοῦ scil. λουτροῦ scribere, quod nisi e scriptoribus Latinis notum non sit. 131 κλισία· cf. n. 114_{21}. 132 Kabb. τάχιστ]α· Wil. praefert ἐπὶ δεξι]ά.

124 STELA QVARTA. Stela a sinistra integra; l. 0,32, a. max. 0,30, cr. 0,10. Litterae στοιχηδὸν dispositae. Edd. Kabbadias Ἐφ. 1885. 85, 87 et *F.* I 3 (*SGDI* 3341); IG IV[1] 953. Cf. Baunack *Ep.* 19.

\ I
[. . . .⁹. . . . ἐγκατ]εκοι[μάθη - - - - - - -]
. . . .⁹. . . . ιας ἐκέλετ[ο - - - - - - - -]
. . . .⁹. . . . ωσ καὶ τὸν - - - - - - - -
[. . .⁸. . . . ὑ]γιὴς γενόμ[ενος - - - - - - - -]
[. . . . αν]δρος Κρής· οὗτ[ος - - - - - - -]
. .⁵. . τὰ νομιζόμεν' ἔ[θυσε - - - - - - -]
. . . . ὑγιὴς ἐγένετο κ - - - - - - - - -
. . ἀργυρίου μνᾶν εἰσ[οισεῖν (?) - - εἰς τὸν θησαυρὸν τὸν]
[τ]οῦ Ἀσκλαπιοῦ. *v* Ἀλκ[- - -. οὗτος τυφλὸς]
ἐὼν τὸν ἅτερον ὀφθα[λμὸν - - -, ὑπέσχετο δὲ πλεί]-
ονα τῶι θεῶι θυσεῖ[ν - - - - - - - - - εἰς]
τὸν θησαυρὸν ἐντ[ὸς ἐνιαυτοῦ (?) - - - - - -]
το. *v v* Ὠφελίων ἐξ Ὑ - - - - - - - - -
τᾶι κλίναι ἔκε̣[ιτο - - - - - - - - - - - -]
ὁ δὲ θεὸς ἐν τ[- - - - - - - - - - ἀφι]-
κέσθαι ποτ- - - - - - - - - - - - - -
ὑγιὴς γεν̣[όμενος - - - - - - - - - - - -]
θεις ' - - - - - - - - - - - - - - -
εγ - - - - - - - - - - - - - - - - -
Ν - - - - - - - - - - - - - - - - -

5 velut [Τέρπ]ανδρος. 10 velut ἔθυσε τὰ νομιζόμενα. 11 velut εἰ ἰαθείη, καὶ ὑγιὴς γενόμενος εἰς] | 12/3 τὸ διπλάσιον ἀνέθηκεν ὧν ὑπέσχε]|το. 13 ἐξ Ὑ vel ἐξυ-, i. e. ἐξ (Σ)υ - -

Aliud fragmentum pusillum στοιχηδὸν dispositum commemoraverunt Baunack *Philol.* LIV 1895, 63*f*; IG IV[1] 953*a*:

Υ
Λ
Ε Ι Η
Τ Ο Σ
. Α

quod ad sanationem aliquam, fortasse ad tabulam 122 vel 124 rettulit Ba.

125 HERMODICI SANATIO. Stela l. 0,37, a. 1,24, cr. 0,28. Litterae saec. III a. Chr. elegantes Α Α Ε Θ Μ Ν Ο Π(!) Σ Υ Ψ (lineolis curvatis) Ω. Edd. Blinkenberg *NT* X 270, 9; Kabbadias *F* I 4; IG IV[1] 954 del. (Blinkenberg *Miraklerne* 106; Weinreich Syll.[3] 1168 [56a]). *Ect., phot.*

vacat

Ἑρμόδικ[ος Λαμψακ]ηνός. |
σᾶς ἀρετᾶς [παράδειγμ]', Ἀσκληπιέ, | τόνδε ἀνέ[θηκα
π]έτρον ἀειρά|μενος, πᾶσι[ν ὁρᾶν] φ̣ανερόν, ||
ὄψιν σᾶς τ̣έχνη̣ς· πρὶν γὰρ | σὰς εἰς χέρας ἐλθεῖν |
σῶν τε τέκνων κεῖμαι | νούσου ὕπο στυγερᾶς |
ἔνπυος ὢν στῆθος χει||ρῶν τε ἀκρατής· σὺ δέ, | Παιάν,
πείσας με ἄρασθαι | τόνδε, ἄνοσον διάγειν.

